# Vita S. Theodori Studitae in codice Mosquensi musei Rumianzoviani n⁰ 520.

Praemonenda.

Inter omnes constat S. Theodori Studitae duas vitas extensas exstare typis excusas, quarum altera, quae *A* littera solet designari, in nonnullis codicibus Theodoro Daphnopatae adscribitur, imperatoris Constantini Porphyrogeniti aequali, altera, quam *B* vocare solemus, sub nomine Michaelis monachi fertur (cui prior quoque vita in quibusdam codicibus adscribitur). Utraque post alios a Mignio edita est Patrol. ser. Gr. v. 99, ubi *A* continetur columnis 113—132, *B* columnis 233—328.

Nuperrime Al. P. f. Dobroclonsky professor Odessitanus tertiam vitam publici iuris fecit in appendice IV partis prioris libri gravissimi, quem de S. Theodoro scripsit[1]), e codice Mosquensi musei Rumianzoviani n⁰ 520 desumptam et *C* littera signatam. Hic textus hucusque neglectus latebat, quoniam verba, a quibus incipit et in quae desinit, cum initio et fine vitae *A* plane consentiunt, ideoque putabatur a vita *A* non esse diversus. Sed re vera est prorsus alia narratio, quae quamvis ex eodem fonte manarit, quo auctores vitarum *A* et *B* sunt usi, tamen plus uno nomine digna Dobroclonskio visa est, quae typis excudatur. Quem locum inter fontes vitae S. Theodori enarrandae obtinere debeat, quaeque ratio intercedat inter eam et vitas *A* et *B*, Dobroclonskius pp. 190—207 libri sui optime demonstravit, postquam pp. 168—190 cum vitis *A* et *B* argumentum eius et sermonem comparavit.

1) А. П. Доброклонскій. Преп. Ѳеодоръ, исповѣдникъ и игуменъ Студійскій. I часть. Его эпоха, жизнь и дѣятельность. Одесса 1913 (= Записки Имп. Новоросс. унив., т. 113). Прил. IV, стр. XXXIV—XC.

Nos vitam *A* diligenter perlegimus, cum librum nostrum de Theodoro Daphnopata scriberemus [1]). Vidimus De la Beaunii editionem a Mignio recusam neglegentissime factam esse plurimisque erroribus in unaquaque pagina foedatam. Plus quadraginta locos (*ἐκ πολλῶν ὀλίγα*!) corrigere studuimus capite X libri modo commemorati (pp. CIII—CXX). Sed Sergius P. f. Schestakov professor Casanensis in censura libri nostri [2]) nonnullis coniecturis nostris refutatis suas proposuit. Nostrum igitur esse censuimus codices ipsos adire, ut videremus, uter nostrum rectius de locis corruptis iudicasset. Primum codicis Monacensis n⁰ 467 s. XI imagines photographicas accepimus intercedente Augusto Heisenbergio professore Monacensi, quarum ope cognovimus, quid codex ille valeret ad textum vitae *A* emendandum [3]). Hoc labore perfecto anno 1914 ineunte codici Rumianzoviano n⁰ 520, a directore musei benignissime nobis Mosqua misso, examinando operam navavimus. In quo cum vitam S. Theodori legeremus, statim vidimus a vita *A* diversam esse totamque esse exscribendam. Iam hoc opus ad finem perducebatur, cum Dobroclonskii liber mense Martio Odessa ad nos pervenit. Ac primo quidem aspectu non sine animi dolore putavi oleum et operam me perdidisse, sed cum textum a Dobroclonskio editum cum apographo meo compararem, vidi virum doctissimum edendi munere imperite admodum esse functum. Primum enim permultas codicis lectiones vitiosas retinuit, deinde saepissime codicis scripturas tacite correxit [4]), denique nonnullos locos non recte exscripsit, ut taceam de operarum erroribus, in quibus corrigendis non ea qua par erat diligentia est versatus. Itaque novam huius textus editionem accuratiorem haud inutilem fore ratus hic eam lectoribus benevolis propono.

Codicis, in quo haec vita servata est, iam a. 1881 A. Victorov accuratam dedit notitiam [5]). Exstat in collectione P. Sevastianovii,

---

1) Двѣ рѣчи Θеодора Дафнопата, изданныя съ введеніемъ о жизни и литер. дѣятельности автора и съ русскимъ переводомъ В. В. Латышевымъ. Прав. Палестинскій Сборникъ, вып. 59. Спб. 1910.

2) Журналъ Мин. Нар. Просв. m. Iunii a. 1910, pp. 403—413.

3) De hoc codice commentatione proxime praecedenti egimus.

4) Quattuor tantum locis (pp. LXVIII, LXXIV, LXXVI) codicis scripturas enotavit editor, quas corrigendas esse censuit, cum similes scripturae singulis paginis obveniant.

5) А. Викторовъ. Собраніе рукописей П. И. Севастьянова. Москва 1881. Vide pp. 23—26, № 66 (520).

e monte Atho advecta et a. 1874 museo Rumianzoviano e Sevastianovii testamento illata. Codex est membranaceus, foliorum 292, binis columnis s. XII accurate scriptus satisque bene etiam nunc conservatus. Continet 35 laudationes et vitas sanctorum, quorum festa mensibus Septembri Octobrique et Novembri celebrantur. Textuum indicem Victorovius l. c. dedit. Theodori Studitae vita loco sexto et vicesimo legitur in ff. 200—230. In universum accurate et diligenter scripta est, quamvis saepius obveniant scripturae ab usu hodierno alienae accentusque aliter positi, quam nos hodie ponere solemus, veluti in encliticis. *Ἰῶτα* mutum constanter omittitur, *ν ἐφελκυστικὸν* plerumque recte ponitur.

Vitam secundum singularum partium argumenta in capitula divisimus (Dobroclonskius ea retinuit, quae sunt apud Mignium). In adnotationibus **R** littera codicis scripturas signabimus, **D** littera Dobroclonskii editionem. Operarum errores, quibus haec editio scatet, enotare supersedimus.

**Basilius Latyschev.**

Petropoli scribebam
m. Iunio a. 1914.

f. 200 # Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου ἡγουμένου τῶν Στουδίου.

1. *Καὶ πᾶσι μὲν ἡδὺς καὶ τοῦ παντὸς ἄξιος ὁ μέγας πατὴρ ἡμῶν καὶ ὁμολογητὴς Θεόδωρος, ἀσκήσει τε βίου καὶ πάθεσι τοῖς ὑπὲρ Χριστοῦ διαλάμψας ἐπιφανῶς καὶ τοῖς ἑκατέρωθεν ἄκροις ἄκραν τὴν ἀρετὴν καὶ ἀπαράμιλλον ἐσχηκώς, πολλῷ δὲ μᾶλλον τοῖς τὸν μονάδα βίον ἐπανελομένοις καὶ πᾶσιν ἀποταξαμένοις κόσμου θελήμασι· τούτοις γὰρ κατ' ἐξαίρετον ἡ τοῦ ἀοιδίμου πατρὸς πολιτεία καὶ τιμᾶται καὶ κατασπάζεται καὶ οἷα γλώσσης ἐντρύφημα διὰ στόματος πάντοτε φέρεται, ἐπεὶ καὶ πάντες σχεδόν, ὅσοι τὸν ἄζυγα βίον προείλοντο, ταῖς αὐτοῦ ὑποθήκαις καὶ διδαχαῖς τυποῦσθαί τε καὶ διεξάγεσθαι βούλονται καὶ ὁλοσχερῶς* col. 2 *αὐτοῦ παρ' ὅλην τὴν | ζωὴν ἐξέχεσθαι. τοιοῦτος ὁ ἐνσκήψας ἔρως τοῦ μεγάλου Θεοδώρου τοῖς ἅπασιν, ὡς πάντως αὐτοῦ πρότερον τὸν οἰκεῖον δεσπότην ποθήσαντος καὶ ὅλην τὴν ἔφεσιν πρὸς αὐτὸν τρέψαντος καὶ μηδενὶ ἄλλῳ ζήσαντος, ὅτι μὴ τῷ Χριστῷ μόνῳ καὶ τῷ σταυρῷ, οὗ καὶ τὰ στίγματα τῆς ὁμολογίας ἐν τῇ ἑαυτοῦ σαρκὶ ἐβάστασε κατὰ τὸν ἀπόστολον. ὅθεν βουλομένοις ἡμῖν ἐναργῶς ἐπιγνῶναι, ἡλίκος οὗτος καὶ ποταπὸς καὶ ποίας ἠξίωται χάριτος, ἔξεστι διάραι κύκλῳ τοὺς ὀφθαλμοὺς καὶ ἰδεῖν τὴν περιώνυμον τοῦ Στουδίου μονήν, ἣν αὐτὸς τῷ ἰδίῳ περιεποιήσατο αἵματι, κἂν τούτῳ τὸν ἑαυτοῦ δεσπότην μιμούμενος, πῶς μὲν κοσμία, πῶς δὲ περιφανής, πῶς δὲ λαμπρὰ καὶ ἐπίδοξος καὶ πᾶσιν ἐπηνθισμένη καλοῖς.*

2. *Καινὸς γάρ τις καὶ ἐξαίσιος τῶν ἐν αὐτῇ μοναστῶν ὅ τε βίος καὶ τρόπος καὶ ἡ κατὰ πνεῦμα συνάφεια καὶ τὸ τῆς ὑπακοῆς ὁμόγνωμον καὶ τὸ ἐν ψαλμῳδίᾳ καὶ προσευχῇ καὶ τῇ ἄλλῃ καταστάσει οἷον* f. 200v *ἀγγελικὸν καὶ οὐράνιον, ὥστε καὶ τὴν φήμην αὐτῶν δια||δραμεῖν ἀνὰ*

In fine tituli post *στουδίου* legitur *εὐ(λόγησον) π(άτ)ερ* || 5–6 *κατεξαίρετον* **RD** || 16 *διᾶραι* **RD** || 21 *ἐξέσιος* **RD** || 22 *ἡ* supra lin. **R**, om. **D**

πᾶσαν τὴν ὅσην ἐφορᾷ ἥλιος καὶ πάντας ἔργον τοῦτο τῶν μεγάλων τιθέναι κατιδεῖν τε αὐτοὺς καὶ λόγου ἀπολαῦσαι αὐτῶν, ὅπου γε καὶ οἵτινες τούτων ἀλλαχοῦ ἐπεφοίτησαν καὶ πεῖραν τῆς ἑαυτῶν ἔδωκαν ἀρετῆς, τύπος ἀσκήσεως καὶ κανὼν γεγόνασιν εὐθύτητος· οἴδασι γὰρ κομιδῇ καὶ βίον ἐκπαιδεύειν φιλόπονον καὶ πολιτείαν διδάσκειν φιλόθεον· οὕτως ἱκανώτατοι, οὕτω μεγαλοφυέστατοι ὅσοι τῇ τοῦ Στουδίου μονῇ ἐνησκήθησαν καὶ ἀρετῆς ἀρχέτυπον τὸν μέγαν ἔσχον Θεόδωρον.

3. Ἀλλὰ τούτου τὸν βίον καὶ τοὺς ἄθλους καὶ τὰ κατορθώματα ἐν τῷ παρόντι διηγεῖσθαι μέλλων εὐξαίμην ἂν αὐτὸν ἐκεῖνον τὸν θεῖον πατέρα συνεφάψασθαί μοι τοῦ σκοποῦ καὶ δοῦναί μοι λόγον ἐν ἀνοίξει τοῦ στόματος, ὡς ἂν τὸ τῆς ἐμῆς ψυχῆς ἐκπληρώσαιμι βούλημα καὶ τύχοιμι κἂν ποσῶς τοῦ ἐφετοῦ. ἐκεῖνα δὲ ἡμῖν πάντως ἀναγκαῖον εἰπεῖν, ὅσα καὶ τοῖς πρὸ ἡμῶν ἐλέχθη πατράσι καὶ γενεαῖς ἑτέραις ἀνηγγέλη, ὅπως ἂν γνῶσιν υἱοὶ τεχθησόμενοι | καὶ διαναστῶσι πρὸς ζῆλον col. 2 καὶ ἀποδύσαιντο πρὸς τὴν μίμησιν. ἀρκτέον οὖν μοι λοιπὸν τῶν κατὰ τὸν μέγαν Θεόδωρον ἄνωθεν καὶ ἀκοαῖς ὡς οἷόν τε φιλοθέοις ταῦτα διηγητέον.

4. Πατρὶς τοίνυν τῷ θεσπεσίῳ πατρὶ ἡ μεγαλώνυμος αὕτη καὶ εὐδαίμων Κωνσταντινούπολις, ἣ πολλοῖς ἄλλοις σεμνυνομένη καλοῖς οὐχ ἧττον τῇ γεννήσει τοῦ Θεοδώρου σεμνύνεται, οἷα δῶρον Θεοῦ ὡς ἀληθῶς τοῦτον ἐνεγκαμένη καὶ εἰς κοινὴν δωρησαμένη ὠφέλειαν· πατέρες δὲ Φωτεινὸς καὶ Θεοκτίστη, καταλλήλους τοῖς τρόποις τὰς κλήσεις λαχόντες, οὐ μᾶλλον προκληθέντες ὅπερ ἐγένοντο, ἢ γεγονότες ὃ προεκλήθησαν. ὁ μὲν γὰρ φωτὸς θείου πολλοῖς ἐχρημάτισεν αἴτιος, ἡ δὲ καινήν τινα κτίσιν Θεοῦ ἑαυτὴν ἀπειργάσατο, ὅλον τὸ εὐθὲς πνεῦμα ἐν τοῖς ἐγκάτοις χωρήσασα. ἄμφω καὶ τὸ γένος ἐπίσημοι καὶ τὴν ἀρετὴν ἐπισημότεροι, ἐν καιροῖς τρεπτοῖς μείναντες ἄτρεπτοι καὶ μηδαμῶς τῆς ἅλμης τῶν θολερῶν δογμάτων ἀπογευσάμενοι. || ὁ μὲν γὰρ Φωτεινός, τὴν οὐ f. 201 πολλοστὴν ἀπὸ βασιλέως διέπων ἀρχὴν (ταμίας γὰρ τῶν βασιλικῶν χρημάτων ἐτύγχανε), πάντα παρὰ φαῦλον θέμενος καὶ μηδενὶ τῶν κάτω συρομένων τὸ τῆς ψυχῆς ὑποκατακλίνας ὄρθιον, τῷ Θεῷ ἀνάθημα γίνεται, τὸν ἀναχωρητικὸν ἀγαπήσας βίον καὶ ἄζυγα κἂν τούτῳ θαυμασίως διαπρέψας· ἡ δέ γε Θεοκτίστη τῷ θείῳ πόθῳ καὶ αὐτὴ τὴν καρδίαν ληφθεῖσα τὰ ὅμοιά τε τῷ ἀνδρὶ δέδρακε καὶ τοῖς ἀσκητικοῖς ἀγῶσι τὸ θῆλυ τῆς φύσεως ἀπηρρένωσεν· ἧς δὴ καὶ τὴν ἀρετὴν καὶ τοὺς πόνους ὁ ἐξ αὐτῆς φὺς ὅσιος ἐν ταῖς ἑαυτοῦ ὑπεδίδαξε Κατηχήσεσι·

---

2 τὲ **R** || 13 πατρᾶσι **R,** em. **D** || 30 παραφαῦλον **RD** || 32 καν **R,** em. **D**

*δηλώσει δὲ καὶ ὁ λόγος ὑποκατιών, ὅπως τε καὶ καθ' οἵους χρόνους τοῦ μονήρους αὕτη ἐπείληπτο [βίου].*

5. *Ἐκ τούτων οὖν τῶν ἀειμνήστων ὁ μέγας γεννᾶται Θεόδωρος κατ' ἐκεῖνο καιροῦ, ἐν ᾧ ὁ δυσσεβὴς Κωνσταντῖνος τὰ Ῥωμαίων κατεῖχε σκῆπτρα, ὃς δὴ Κοπρώνυμος ἐπωνόμαστο, ἀξίαν τὴν προσωνυμίαν τοῦ* col. 2 *τρόπου λαβών, δι' ὃν ἔμελλεν, οἴμοι, κόπρον τοῦ ἐναγοῦς αὐτοῦ | στόματος ἀπερεύξασθαι καὶ ῥῆξαι φωνὴν τῶν θείων εἰκόνων ἔξαρνον. παρὰ γὰρ τοῦ δυσωνύμου Λέοντος τοῦ Ἰσαύρου, ὃς ἦν τούτῳ πατήρ, ὃς καὶ πρῶτος βλασφημίαν εἰς τὸ ὕψος ἐλάλησε καὶ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν (τῆς πολλῆς σου περὶ τὸν ὑβριστὴν ἀνοχῆς, δέσποτα·) ἀναιδῶς ἀπωμόσατο, — παρ' αὐτοῦ οὖν καὶ φὺς οὗτος καὶ τραφεὶς καὶ τῆς βασιλείας καὶ τῆς πονηρίας διάδοχος γεγονὼς ὑπερβῆναι τὸν φύσαντα τῇ κακίᾳ ἐφιλονείκησε, πᾶν εἶδος ἐπινοῶν κολάσεως καὶ πικροτάτῳ θανάτῳ παραδιδοὺς τοὺς τὸν χαρακτῆρα τιμῶντας Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ, οἳ καὶ θύματα τέλεια τῷ ἀμώμῳ Θεῷ προσηνέχθησαν, τὸ ἐκείνου μῖσος περιφανῶς στηλιτεύσαντες.*

6. *Ἄρτι τοίνυν ὁ δηλωθεὶς Θεόδωρος τὴν εἰς βίον δεξάμενος γέννησιν καὶ ἀνατροφὴν καὶ καλῶς τὰ πρῶτα τῆς ἡλικίας παρὰ τῶν τεκόντων διαπλασθεὶς καὶ τῷ θείῳ λουτρῷ τὴν ψυχὴν φωτισθεὶς μετὰ τὸ* f. 201v *διανῦσαι χρόνον ἤδη || τὸν ἕβδομον, λαβεῖν δὲ καὶ πῆξιν τήν τε ἡλικίαν καὶ τὸ φρόνημα, μαθήμασιν εὐθὺς τοῖς πρώτοις ἐκδίδοται· ἐνασκηθεὶς δὲ τούτοις εὖ μάλα καὶ προπαιδευθείς, ἀλλὰ καὶ γραφαῖς ταῖς πρεπούσαις νέᾳ ψυχῇ ἐγγυμνασθείς, οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τῆς θύραθεν ἥψατο καὶ δὴ ὀξύτητι φύσεως καὶ ἐπιμελείᾳ συντόνῳ γραμματικήν, ἣ γλῶσσαν ἐξελληνίζει, τάχιστα ἐκπαιδεύεται, εἶθ' οὕτως καὶ ῥητορικὴν μετελθὼν καὶ ταύτης τὸ μὲν χρήσιμον προσλαβών, τὸ δὲ περιττὸν καὶ ἀνόνητον διαπτύσας, ἔτι καὶ φιλοσοφίας εἴχετο, ἧς δὴ καὶ μᾶλλον ἤρα, καὶ συνέλεγεν ἀπ' αὐτῆς ὅσον κάλλιστόν τε καὶ χρειῶδες καὶ τῆς ἀληθείας ἐχόμενον, ὡς ἂν μὴ ἁλώσιμος ᾖ τοῖς νόθοις προβλήμασιν, ὅσον δ' εἰς ἀπάτην ἔφερε καὶ ψευδεῖς παραλογισμούς, ἀπεώθει τε καὶ ἀπεσκοράκιζεν. ἐντεῦθεν καὶ διδασκάλοις καὶ ἥλιξι καὶ πᾶσιν οἷς συνωμίλει αἰδοῦς ἦν καὶ τιμῆς ἄξιος. ἀλλὰ τούτῳ καίπερ τοσαύτην ἐρανισαμένῳ παίδευσιν λόγοι μὲν τὸ πάρεργον ἦσαν, ἀρετὴ δὲ καὶ ἡ ταύτης κτῆσις* col. 2 *τὸ σπου|δαζόμενον καὶ πῶς ἄρα κατορθωθείη αὐτῷ ἡ σωφροσύνη καὶ ἡ ἀνδρεία, πῶς δὲ ἡ ταπείνωσις, πῶς ἡ πραότης, πῶς ἡ ἁγνεία καὶ ἡ*

---

2 *βίον* addidi | 4 *κατεκεῖνο* **R,** em. **D** || 5 *ὃ* pro *ὃς* **D** || 16 *μίσος* **RD** | 17 *βίον* **RD** | 20 *διανύσαι* **RD** || 34 *σοφροσύνη* et 35 *ταπείνωσεισ* **R,** em. **D**

*ἐγκράτεια καὶ αἱ λοιπαὶ ἀρεταί. τούτοις ὁ Θεόδωρος τὴν ψυχὴν ἐξασκῶν καὶ τὰ λόγια τοῦ Θεοῦ ὅσαι ὧραι διαμελετῶν, ἣν αὐτῷ διὰ πολλοῦ καὶ τὸ παραβάλλειν τοῖς εὐκτηρίοις τῶν οἴκων συχνὰ καὶ νυξὶν ὅλαις διακαρτερεῖν, μὴ ὕπνῳ διδόντι αὐτόν, μὴ ἄλλῃ ἀνέσει σώματος, τροφῇ τε χρωμένῳ τῇ λεπτοτάτῃ καὶ ἀπωθουμένῳ καθόλου γαστρὸς πλησμονήν, ἑτοιμάζων πάντως ἑαυτὸν καὶ συνεθίζων πρὸς ὃν ἐπόθει βίον μοναδικόν.*

7. *Ἐπεὶ δὲ ὁ τύραννος Κωνσταντῖνος, ὁ πολλὰ τῶν ἱερῶν εἰκόνων κατορχησάμενος, αἰσχίστῳ θανάτῳ τὴν ψυχὴν ἀπέρρηξε καὶ προοίμιον τοῦ ἐκεῖ, φεῦ, πυρὸς τὴν ἐνταῦθα τῶν ὀστέων αὐτοῦ εὗρε κατάκαυσιν, διεδέξατο δὲ τὴν ἀρχὴν ὁ τούτου υἱὸς Λέων ὁ ἐπίκλην Χάζαρος, τὰ πάντα πατρώζων καὶ μηδὲν καθυφιεὶς τοῦ γεννήτορος, τοῦτον δὲ καὶ ὁ χρόνος καὶ ἡ ἐξουσία θᾶττον ἐπέλιπον, ‖ ἀμφοτέρων ἀθλίως στερη-* **f. 202** *θέντα, τότε δὴ τότε ἐξήγειρε κέρας σωτηρίας ἡμῖν ὁ μὴ ἐπὶ πολὺ κλήρῳ δικαίων ῥάβδον ἁμαρτωλῶν ἀφιείς, ἵνα μὴ καυχήσωνται ἄμετρα, Εἰρήνην τὴν ὄντως τῆς ἐκκλησιαστικῆς εἰρήνης φερώνυμον· ἣ πᾶσαν ταραχὴν καὶ ἀθυμίαν ἀπελάσασα εἰρήνην βαθεῖαν καὶ εὐθυμίαν εἰσήνεγκεν. ἦν δὲ τηνικαῦτα ἐνιαυτὸν ἄγων τῆς ἡλικίας ὁ Θεόδωρος δεύτερον καὶ εἰκοστόν. ἡ οὖν θεοφιλὴς αὕτη Αὐγοῦστα, τοῦ κράτους λαβομένη καὶ τῷ δόντι Θεῷ ἀποτιννῦσα τὰς ἀμοιβάς, τὴν ὀρθόδοξον πίστιν ἀνακηρύττει εὐθὺς καὶ τὴν τῶν ἱερῶν εἰκόνων ἀνακαλεῖται προσκύνησιν, συναγείρει τε καὶ τοὺς ἁπανταχῇ διεσπαρμένους θείους πατέρας, οἷα φωστῆρας κόσμου περιλελειμμένους καὶ τὸν τῆς ζωῆς λόγον ἐπέχοντας, καὶ τούτους μεγαλοπρεπῶς ἅμα καὶ βασιλικῶς δεξιουμένη σὺν αὐτοῖς βουλεύεταί τε καὶ διαπράττει τὰ κάλλιστα. συναγείρεται δὲ μετὰ πάντων ἀπὸ τοῦ Ὀλύμπου μετακληθεὶς καὶ Πλάτων ὁ ὁσιώτατος καὶ πρὸς μητρὸς θεῖος τῷ Θεοδώρῳ· ὃς πολλὰ τῇ βα|σιλίσσῃ καὶ τοῖς πατράσι συγκαμὼν ἐν* **col. 2** *τῇ πίστει καὶ συναγωνισάμενος μέγα κλέος παρὰ πάντων ἠνέγκατο, ὡς καὶ αὐτὸν τὸν μέγαν πατριάρχην Ταράσιον δι' αἰδοῦς καὶ τιμῆς ἄγειν τὸν ἄνδρα καὶ τοῦτον σύμβουλον ἔχειν καὶ δεξιὸν τῶν πρακτέων συλλήπτορα. περὶ οὗ δὴ καὶ τῷ μεγαλοφυεῖ Θεοδώρῳ πόνημα ἐσπουδάσθη, κατὰ μέρος ὑπαγορεῦον τὴν τοῦ θείου ἀρετὴν καὶ διαγωγήν.*

8. *Τότε δὴ οὖν οὗτος ὁ ἐν ἁγίοις Πλάτων πολλοὺς ἀνὰ τὸ ἄστυ διατρίβων πρὸς τὸν τῆς φιλοσοφίας ἐθήρασεν ἔρωτα, λόγοις τε πείθων καὶ σοφαῖς παραινέσεσι, πρὸς πολλοῖς δὲ καὶ τοὺς ἀφ' αἵματος αὐτῷ συγγενεῖς, φημὶ δὴ τὸν νῦν εὐφημούμενον Θεόδωρον, ἐξ ἀδελφῆς ὄντα*

---

4 et 21 *τὲ* **RD** || 10 *ὡ ἐπίκλην* **RD** || 12 *ὁ* supra lin. **R** || 13 *ἐπιπολὺ* **R,** em. **D** || 19 *ἀνακηρύττη* **R,** em. **D** || 21 *ἀπαλλαχῇ* pro *ἁπανταχῇ* **D** || 28 *διαιδοῦσ* **R,** em. **D**

*ἀνεψιόν, καὶ μητέρα τούτου τὴν καὶ ἀδελφήν, ἣν φθάσας ὁ λόγος ἐδήλωσε, σὺν ἅμα δυσὶ τοῦ Θεοδώρου ἀδελφοῖς καὶ μικρᾷ ἀδελφῇ, πρὸς δὲ καὶ τρεῖς ἄλλους τοὺς αὐτῷ κατὰ γένος προσήκοντας. τούτους γὰρ πάντας πρὸς τὸν αὐτὸν συνδραμόντας σκοπὸν θήραμα τῶν αὐτοῦ λόγων* **f. 202v** *ὁ Πλάτων πεποίητο, ‖ τὸν καιρὸν ἤδη ἁρπάσας καὶ ἃ πάλαι ἐπόθουν ἀποπληρώσας αὐτοῖς. οἵ γε καὶ σὺν τάχει πολλῷ οὐσίαν καὶ χρήματα καὶ ὕπαρξιν ἄλλην, πολυτάλαντον οὖσαν, ἔτι μὴν καὶ οἶκον αὐτὸν τὸν τὰ Κώνστα καλούμενον τοῖς πένησιν ἀποδόμενοι, πρὸς δὲ καὶ οἰκέτας ἅπαντας τῆς δουλείας ἀπολύσαντες καὶ λεγάτα ἐπιδόντες, κοῦφοι καὶ εὔζωνοι τὸν σταυρὸν ἦραν καὶ τῷ καλοῦντι ἐπηκολούθησαν, ἀξίως τῆς κλήσεως καὶ πορευθέντες καὶ τὰς ἀμοιβὰς ἐπικομισάμενοι.*

9. *Ἐπεὶ δὲ ὁ τότε καιρὸς ἐπιδεὴς ἦν κοινοβίων διὰ τὸ λυσσῶδες τῶν κρατούντων καὶ μανικόν, ἦν δὲ τῷ Θεοδώρῳ κτῆμα οἰκεῖον τὸ Βοσκύτιον οὕτω καλούμενον καὶ πρὸ τοῦ Καταβόλου κείμενον, τοῦτο δὲ φθάσας τῷ Θεῷ ἀφιέρωσε καὶ εἰς σεμνεῖον ἔταξεν, ἅτε ἐν νῷ ἔχων ἀεὶ καὶ διαμελετῶν τὸ σχῆμα ὑπελθεῖν τοῦ μοναχοῦ, τῆς θρεψαμένης ὁμοῦ πάντες ἀπάραντες ἐκεῖνον τὸν τόπον κατέλαβον. ἔστι δ᾽ ὁ τόπος μάλα ἡδὺς καὶ ἡσύχιος, δένδρεσί τε ποικίλοις κατάσκιος ἅμα καὶ κάταλσος* **col. 2** *καὶ | κύκλῳ συνηρεφεῖ πανταχόθεν μηνοειδής, ἀμφόδῳ μόνῃ μιᾷ τὸ βάσιμον ὑπανείς. ἔχει δὲ κατὰ μέσην πεδίον ἡπλωμένον πάνυ ὡραῖον, ἀλλὰ καὶ ὕδωρ πότιμον ἐν αὐτῷ ψυχρόν τε καὶ διειδὲς καὶ πᾶσα τέρψις ἄλλη τούτῳ χαρίεσσα σὺν τῷ ἐκεῖσε ὄντι εὐκτηρίῳ ναῷ τοῦ Θεοῦ. τούτῳ οὖν τῷ τοῦ Βοσκυτίου χώρῳ συνάμα τῷ παρακειμένῳ τοῦ Σακκουδίωνος ὁ μέγας ἐπιφοιτήσας Θεόδωρος μετὰ τοῦ θείου Πλάτωνος καὶ τῶν λοιπῶν τῷ Θεῷ τὰς εὐχὰς ἀπεδίδου καὶ τὸν ἐν ὀφθαλμοῖς ἀγῶνα διήνυε, λαμπρὸν καταγώγιον μοναστῶν ἐξ ἐκείνου καὶ μέχρι τοῦ νῦν τελέσας τὸν τόπον καὶ ἐργασάμενος, τῆς δηλωθείσης αὐτῷ μητρὸς καὶ μιᾶς ἀδελφῆς ἐν ἑτέρῳ δηλονότι σεμνείῳ γυναικῶν τρίχας ἀποκειραμένων καὶ θέλημα, αἳ καὶ βίον καὶ τρόπον σεμνὸν ἔσχον καὶ ὑπερφυῆ.*

10. *Ὁ οὖν Θεόδωρος χερσὶ τοῦ θείου Πλάτωνος ἑαυτὸν ὑποθεὶς καὶ ψυχὴν ἐκείνῳ νεκρώσας καὶ λογισμὸν καὶ τὰ πάντα καταπειθὴς* **f. 203** *γεγονὼς κείρεται ‖ τὰς τρίχας καὶ τὸ τοῦ μοναχοῦ σχῆμα ἐνδύεται. καὶ ἦν ἰδεῖν εὐθὺς τὸν εὐγενῆ καὶ τῶν εὖ γεγονότων ταπεινότερον πάντων καὶ εὐτελέστατον καὶ ἐν πάσῃ διακονίᾳ προθυμότατον. τὰς γὰρ πρὸ τοῦ χεῖρας τρυφεράς τε καὶ μαλθακὰς ἐργάτιδας καὶ στρυφνὰς πρὸς τὰ*

---

6 *ἀποπληρώσ(ας)* **R**, *ἀποπληρώσθη* **D** ‖ 8 *τακώνστα* **R**, *τακώντα* **D** ‖ 10 *ἐπικολούθησαν* **RD** ‖ 17 *δὲ ὁ* **D** ‖ 26 *ἐξεκείνου* **R**, *ἐξ ἐκεῖνου* **D** ‖ 27 *αὐτῷ* **RD** : an *αὐτοῦ* ? ‖ 34 *προτοῦ* **RD**

σκληρὰ τῶν ἔργων ἀπέφαινε, ξυλοφορῶν τε καὶ ὑδροφορῶν, σκαπάνῃ χρώμενος καὶ αὐτουργῶν, κηπεύων καὶ τοῖς λαχάνοις τὴν πόσιν διδοὺς καὶ πᾶν ἄλλο καματηρὸν ἔργον μετιών· ᾧ γε καὶ κόπρος πολλάκις βάσταγμα ἐπὶ τῶν ὤμων ἦν, νυκτὶ τοῦτο ἢ καὶ μεσημβρίας ὥρᾳ πραττόμενον, ὡς ἂν τοὺς πολλοὺς λανθάνῃ ἐφ' οἷς δρώῃ καὶ μὴ εἴη ἐν πᾶσι κατάφωρος. ὅπερ τινὲς τῶν συνόντων πυθόμενοι καὶ ὄμμασιν αὐτοῖς θεασάμενοι θαύματι ἦσαν κατάσχετοι. ἀλλ' οὐκ ἀπέχρησε τῷ Θεοδώρῳ μόνα ταῦτα ἐπιτελεῖν, ἀλλὰ καὶ εἴ τινας ἑώρα τῶν ἀδελφῶν ἀσθενείᾳ πολλάκις ἢ ἄλλως ὄκνῳ ἢ χαυνώσει σώματος μὴ ἐπικαίρως ἀνύοντας τὰ ἐπιταττό|μενα, τῷ ἐνδυναμοῦντι Χριστῷ θαρρῶν συνεπόνει κἀκείνοις καὶ συνεπήμυνε καὶ τὴν εὐπείθειαν εἰσφέρων τὴν εὐλογίαν ἐλάμβανεν. ἔζη γὰρ οὐχ ἑαυτῷ, ἀλλὰ Θεῷ καὶ τῷ τούτου πατρὶ καὶ τοῖς κατὰ πνεῦμα ἀδελφοῖς, πρᾶξιν πᾶσαν καὶ λόγον καὶ λογισμοῦ κίνημα ἀνατιθεὶς τῷ πατρὶ καὶ καθηγητῇ καὶ τούτῳ πάντα ἀνακαλύπτων τὰ ἐν καρδίᾳ ἀπόκρυφα. ὥστε ἦν ὁρᾶν αὐτὸν ὄμμα στυγνὸν καὶ εἰς γῆν νενευκὸς ἔχοντα πάντοτε, φρόνημα σύννουν καὶ ταπεινόν, τρόπου ἁπλότητα, λόγου σεμνότητα, ἤθους κοσμιότητα καὶ τὸ πρῶτον καὶ μεῖζον, ἀγάπην καθαρὰν καὶ ἀνόθευτον, ἐξ ἧς καὶ πρὸς τὸ τῆς ὑπακοῆς καὶ ταπεινώσεως ὕψος ἀφίκετο. ἀπέβλεπε γὰρ ἀεὶ πρὸς τὸν ἐν οὐρανοῖς δεσπότην, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, ᾗ φησιν ὁ ἀπόστολος, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν καὶ γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ταῦτα τῷ Θεοδώρῳ εἰς νοῦν ὁσημέραι βαλλόμενα κατάνυξιν ἔφερε || πολλὴν καὶ συντριβὴν καρδίας καὶ στεναγμόν, ὡς καὶ φαίνεσθαι τοῦτον ἀεὶ πενθοῦντα καὶ δάκρυα ἀπὸ τῶν ὀμμάτων κατάγοντα. εἰλήφει γὰρ παρὰ Θεοῦ μετὰ τῶν ἄλλων καὶ τὸ τῆς κατανύξεως χάρισμα, ὃ καὶ εἰργάζετο παρ' ὅλον τὸν βίον καὶ ἐφύλαττεν, ἵνα μὴ ἀπό τινος τῶν ἔξωθεν ἐπιθολούντων τὸ τοιοῦτον ἀποσβεσθείη καλόν.

col. 2 — f. 208v

11. Ἐπεὶ δὲ καὶ εὐκτήριον οἶκον ἀνεγεῖραι ἐν τῷ τοῦ Σακκουδίωνος τῷ εὐαγγελιστῇ Ἰωάννῃ καὶ θεολόγῳ παρὰ τοῦ θείου ἐπετράπη Πλάτωνος, πολλῶν ὡς εἰκὸς φιλοθέων τῇ τῶν ἀναλωμάτων ἡδομένων συνεισφορᾷ, πίστει πολλῇ καὶ προθυμίᾳ τὸ ἔργον διήνυε καὶ δὴ εἰς κάλλος καὶ μέγεθος ἐξασκήσας τὸν ναὸν οὐ μόνον τὴν ὀροφὴν καὶ τὰς ἰσοπλεύρους γωνίας παντοίαις ψηφῖσι καὶ χρωμάτων κατεκόσμησε περιλάμψεσιν, ἀλλὰ καὶ τὸ ἔδαφος αὐτὸ ποικιλίᾳ μαρμάρων καὶ λίθων διαυγείαις ἀπαστράπτον ἀπέδειξε. τοιαύτη προσῆν τῷ Θεοδώρῳ ἐπιτη-

1 τὲ **RD** || 16 σύνουν **RD** || 20 ἤφησιν **R,** em. **D** || 31 ὡσεικὸσ **R,** em. **D** || 36 **ἀπαστροέστατον** (sic!) **D** || ibid. ἀπέδειξαι **R**

δειότης καὶ χάρις ἐν ἅπασιν. ἐλέγετο δὲ καὶ τοῦτο περὶ αὐτοῦ, ὅτι col. 2 πρῶτος ἀεὶ τῶν ἀδελφῶν ἐν τῇ | ἐκκλησίᾳ εἰσιὼν ἔν τε νυκτεριναῖς ψαλμῳδίαις καὶ ἡμεριναῖς, τελευταῖος καὶ μετὰ πάντας ἐξῄει μετὰ τὴν τῶν ὕμνων ἐκπλήρωσιν. ἀφώριζε δὲ καί τισι καιροῖς ἑαυτὸν ἀπὸ τῶν λοιπῶν, καὶ μάλιστα ὅτε σχολὴ αὐτῷ ἤγετο, καὶ μόνος μόνῳ προσωμίλει τῷ γνώστῃ τῶν κρυπτῶν, νοῦν τῷ Θεῷ παριστῶν ἄλαλόν τινα καὶ κωφὸν καὶ ἀμιγῆ τῶν κάτω περιπλακήσεων. κατώρθωτο δὲ αὐτῷ ἐς τὸ ἀκριβὲς καὶ ἡ ἐγκράτεια, ἣν καὶ ὡς συνεργὸν μάλιστα καὶ τῶν ἀρετῶν ὁδηγὸν διαφερόντως ἤσκει τε καὶ ἠσπάζετο, ἐκεῖνα διδοὺς τῷ σώματι, ἃ τῇ φύσει πρὸς τὸ ζῆν ἐπαρκεῖ, ὡς μήτε δι᾽ ἄκραν τῶν σιτίων ἀποχὴν τὴν τούτου βλάπτειν ἐνέργειαν, μήτε κόρῳ γαστρὸς τοῦ νοῦ σκοτίζειν τὸ καθαρόν· ᾔδει γάρ, ὡς διακριτικώτατος, τῶν ἑκατέρων τὸ βλαβερὸν καὶ πῶς κεχρῆσθαι τοῖς βρώμασι δεῖ. διὰ τοῦτο καὶ τοῖς παρατιθεμένοις ἔστιν ὅτε πᾶσιν ἐχρῆτο καὶ τούτων μικρὸν ἀπεγεύετο, ὡς μὴ δοκεῖν ἀπεμφαίνουσαν ἔχειν τὴν ἄσκησιν. ||

f. 204 12. Ὅθεν καὶ πρὸς τὸν ἐκείνου βίον πάντες ἀπέβλεπον καὶ τοῦτον εἶχον ἐν πᾶσιν ἀρχέτυπον, ἐξαιρέτως ὁ θαυμάσιος Ἰωσήφ, ὁ καὶ τὴν φύσιν καὶ τὴν προαίρεσιν ἀδελφός· ὃς πρὸς μίμησιν αὐτοῦ διαναστὰς καὶ ἀπ᾽ ἐκείνου τὴν ψυχὴν μορφωθεὶς πολὺς ἐφάνη τὴν ἀρετήν, ὡς μετὰ ταῦτα καὶ τῆς ἐν Θεσσαλονίκῃ ἐκκλησίας κρατῆσαι, πρόεδρος ταύτης γεγονὼς καὶ πολλὰς διὰ Χριστὸν ὑπομείνας ἐξορίας καὶ φυλακάς· σὺν τούτῳ καὶ Ἀντώνιος καὶ Τιμόθεος, Ἀθανάσιός τε καὶ Ναυκράτιος καὶ ὁ λοιπὸς τῶν μοναχῶν ὅμιλος, πάντες ἅμα πρὸς ἔνθεον ζῆλον τοῦ Θεοδώρου ἠγείροντο· οἵ γε καὶ μεγάλης ἐπειλημμένοι ἀρετῆς οὐ μόνον ἀσκήσει διέπρεψαν, ἀλλὰ καὶ ὁμολογίᾳ μετέπειτα.

13. Ὁ οὖν πατὴρ ἡμῶν Θεόδωρος πᾶσαν μὲν βίβλον παλαιάν τε καὶ νέαν ἀνεγίνωσκε καὶ πάντων τῶν πατέρων τούς τε βίους καὶ λόγους διηρεύνα καὶ ἀνεμάνθανε καὶ πνεύματι ταπεινώσεως ἐκ πάντων συνέλεγε τὰ ὠφέλιμα, μάλιστα δὲ τοῖς τοῦ μεγάλου Βασιλείου λόγοις ἐδίδου ὅλον col. 2 αὐτόν, | ἀποδεχόμενος μὲν καὶ θαυμάζων καὶ τὰς λοιπὰς βίβλους αὐτοῦ ἠθικάς τε καὶ δογματικὰς καὶ ὅσας ἄλλας ἐξόχως ἐκεῖνος ἐξήσκησε σοφίᾳ λόγου καὶ πνεύματος χάριτι, πλέον δὲ τὴν τῶν ἀσκητικῶν, ᾗ καὶ νομοθεσίαι μοναστῶν, βίων τε καταστάσεις καὶ διατάγματα ἐπιστημόνως τῷ ἁγίῳ ἀπηκριβώθησαν· ταύτην γὰρ ἀεὶ τὴν βίβλον τῷ πλάτει τῆς ἑαυτοῦ διανοίας ἐναπογράφων οἷόν τι γλώσσης εἶχεν ἐντρύφημα·

---

2 ἐντε **RD** || 4 ἑαυτῶν **R,** em. **D** || 26 μὲν videtur erasum esse in **R** || 31 et 33 τὲ **RD.**

ἣν καὶ παρεωραμένην τότε ὁρῶν καὶ τὰ καίρια ἀφῃρημένην τῷ κτήσεις ἰδιαζούσας ἐπισυνάγειν τοὺς μοναχοὺς καὶ δούλους ὠνεῖσθαι καὶ ἡμιόνους καὶ ἄλλα τούτων πράττειν καπηλικώτερα, πλήττεται τὴν καρδίαν, σχετλιάζει, δεινοπαθεῖ. εἶτα τί; ἀνδρειοῦται τὸ φρόνημα, διανίσταται καὶ ὅλος τῆς τῶν κανόνων ἐκδικήσεως γίνεται καὶ ᾗ τάχος εἶχε τῷ μεγάλῳ πρόσεισι Πλάτωνι καὶ τὸ δεινὸν ἀπαγγέλλει τοῦ πράγματος, μάλιστα ὁρῶν τὸ παράλογον τοῦτο κἂν τῷ ἑαυτοῦ σεμνείῳ παρά τινων θεραπευόμενον συρφετῶν, καὶ μὴ δεῖν φησι τὴν νόσον ἐᾶν ‖ ἀτημέλητον, **f. 204v** ἵνα μὴ ὁδῷ προβαίνουσα λύμη ψυχῶν καὶ τρυγία Θεοῦ ὀργῆς γένηται.

14. Ὁ οὖν Πλάτων ἐν καρδίᾳ τοὺς Θεοδώρου λόγους βαλόμενος καὶ τὸ εὐσύνετον τούτων ἀποδεξάμενος προτρέπεται τοῦτον σὺν τάχει πολλῷ διορθώσασθαι τὸ πραττόμενον· ὅς γε καὶ θείῳ ζήλῳ διαθερμανθεὶς μάλιστα καὶ τὸν παρορμῶντα ἐσχηκὼς πάντα φορυτὸν ἀπὸ τῶν μοναχῶν ἐσκυβάλισεν, οἰκέτας τε αὐτῶν καὶ ἡμιόνους καὶ λοιπὰ ἐξεφόρησε καὶ ἁπλῶς ἐδίδαξε τοὺς πρὶν πολυκτήμονας ἀπερίττους εἶναι λίαν καὶ ἀκτήμονας. τοῦτο καὶ οἱ ἐκ γειτόνων καὶ οἱ πόρρω διενωτισθέντες ἐπῄνουν καὶ ἀπεδέχοντο καὶ τοὺς ἀμφ' αὐτοὺς παρηγγύων τούτῳ στοιχεῖν καὶ μὴ παρατρέπειν πατέρων ὅρια. ἦσαν δὲ οἳ καὶ τὸν δράσαντα ἐκάκιζον, ὅσοι φθόνῳ κατάσχετοι καὶ παραχαράκται τοῦ ἐπαγγέλματος· ἀλλ' οὐ μέλον τοῦτο τῷ Θεοδώρῳ, οὔτε τοῖς ψόγοις τῶν διαβαλλόντων προσεῖχεν, οὔτε τοῖς τῶν ἐπαινούντων λόγοις ἐχαυνοῦτο, μόνῳ δὲ Θεῷ τῷ καταμόνας βλέποντι τὰς καρδίας τὴν αὐτοῦ | ἐδείκνυε πρόθεσιν. **col. 2**

15. Οὕτως οὖν τοῦ θαυμασίου τούτου ἐπεκτεινομένου τοῖς ἔμπροσθεν καὶ ἀσκήσει πάσῃ καὶ ἀρετῇ διαλάμποντος, βουλεύεται ὁ ὁσιώτατος Πλάτων ἱερωσύνῃ τιμῆσαι τὸν ταύτης ἄξιον· ᾧ καὶ τὸ βούλευμα κοινωσάμενος πρῶτα μὲν εἶχεν ἀντίξουν καὶ ἀντιτείνοντα, εὐλαβούμενον τάχα τὸ ὑπερβάλλον τοῦ ἀξιώματος. ὡς δ' οὐ μεθήσειν ἔφασκεν, ὑποκλινῆ μετέπειτα καὶ ἐνδόσιμον ἔλαβεν· ᾔδει γὰρ πάντως οὐκ ἀθεεὶ τοῦτο γινόμενον. ὅθεν καὶ πρὸς τὸν ἐν ἁγίοις Ταράσιον εἰσελθόντες καὶ αὐτῷ τὰ τοῦ σκοποῦ ἀναθέμενοι, θεῖόν τι χρῆμα τοῦτο λογίζεται ὁ θεσπέσιος καὶ δὴ χειροτονεῖ τοῦτον εὐθὺς καὶ τῇ ἱερωσύνῃ τελειοῖ, ᾗ νόμος ἱερεῦσίν ἐστιν. ὃς μετὰ τῆς χειροθεσίας καὶ τὴν χάριν ὅλην λαβὼν τοῦ πνεύματος ἐπάνεισι σὺν τῷ θείῳ πρὸς τὸ ἑαυτοῦ μοναστήριον, πόνων ἐπιπονωτέρων μᾶλλον ἁπτόμενος καὶ τὴν ψυχὴν μερίμναις βαλλόμενος μείζοσιν, ἐννοῶν μάλιστα τῆς ἀξίας τὸ μέγεθος καὶ ὅσον

3 πλήτεται **RD** ‖ 4 ἀνδρϊοῦται **RD** ‖ 5 ἢ **RD** ‖ 7 τὸ pro τῷ **RD**; παράτινῶ **R**, παρὰ τινῶν **D** ‖ 8 μηδεῖν **R**, em. **D** ‖ 12 κραττόμενον **D** ‖ 14 τὲ **RD** ‖ 22 τῷ om. **D** ‖ 31 θαυμάσιοσ pro θεσπέσιος **D** ‖ 32 ἱερεῦσιν ἐστίν **RD**.

f. 205 *μὲν ἄνθρωπος φύσις ταπεινή, || ὅσον δὲ ὕψους καὶ χάριτος δεκτική, καθ' ἑαυτὸν λογιζόμενος. τούτοις τὴν καρδίαν νυττόμενος ὁ Θεόδωρος καὶ ὀστᾶ καὶ μυελοὺς ἐκτηκόμενος οὐκ ἐδίδου ὕπνον τοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις ἀνάπαυσιν, διανιστῶν ἑαυτὸν ἀεὶ πρὸς τὰ μείζω καὶ τελεώτερα, ὥραν μόνην καθεύδων νυκτός, τὰς δὲ λοιπὰς ὅλας νήφων καὶ γρηγορῶν, εὐχῇ τε καὶ ψαλμῳδίᾳ καὶ μελέτῃ γραφῶν διακαρτερῶν. ὃν καὶ ὁ θειότατος Πλάτων ὁρῶν ὑπερφυῆ καὶ περιδέξιον καὶ ἐν ἅπασι τέλειον ἠβουλήθη πολλάκις καθηγητὴν ἀποδεῖξαι τῆς ἀδελφότητος, αὐτοῦ γήρᾳ καὶ ἀσκήσει χρονίᾳ ἀπειρηκότος, ἀλλ' οὐκ εἶχε τέως πειθόμενον τὸν τἆλλα ταχὺν εἰς εὐπείθειαν· ᾔδει γὰρ ὁ εὐσύνετος, ὅτι βέλτιον ἄλλοις ἑαυτὸν ἐπιτρέπειν, ἢ αὐτὸν ἐξηγεῖσθαι ἑτέρων. καὶ γὰρ χαλεποῦ ὄντος, ὥς φησιν ὁ θεῖος Γρηγόριος, τοῦ εἰδέναι ἄρχεσθαι, κινδυνεύει πολλῷ χαλεπώτερον τὸ ἄρχειν εἰδέναι καὶ μάλιστα τοιαύτην ἀρχήν, τὴν* col. 2 *ψυχὰς διαπλάττουσαν καὶ ῥυθμίζουσαν. ἀλλ' οὐκ ἔδει | μέχρι παντὸς τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύπτεσθαι, οὐδὲ τὸν ποιμαντικῆς ἄξιον μὴ ποίμνης προΐστασθαι. δηλώσει δὲ καὶ τοῦτο ὁ λόγος.*

16. *Ἐν μιᾷ γοῦν νόσῳ βαρείᾳ ὁ ὅσιος Πλάτων ληφθεὶς καὶ λάβρῳ πυρετῷ συσχεθεὶς συγκαλεῖ τοὺς αὐτοῦ μαθητὰς καὶ τῆς νόσου διαγγέλλει τὸ βαρὺ καὶ ὡς ἐγγὺς τούτῳ ἡ τελευτὴ καὶ „Σκέψασθε“ φησί, „τίς ὑμῶν τῆς ἀδελφότητος μετ' ἐμὲ ἐξηγήσοιτο, καὶ τοῦτον δηλώσατε κἀμοί.“ τῶν δὲ ἀπὸ μιᾶς γνώμης καὶ φωνῆς τὸν Θεόδωρον φησάντων ἀξιολογώτατον εἶναι καὶ ἱκανώτατον καὶ πρὸς ἐπιστασίαν πάντων δοκιμώτερον, ἅτε καὶ ἀρετῇ καὶ λόγῳ ἐξέχοντα, τοῦτον εὐθὺς εἰσκαλεῖ καὶ τὴν ψῆφον φανεροῖ τῶν ἀδελφῶν καὶ τὴν οἷον σύμπνοιαν καὶ ὡς „Θέλημα“ φησὶ „τοῦτο Θεοῦ· ἡ γὰρ νόσος ἐμοί, ὡς ὁρᾷς, ἀναπόδραστος.“ τούτοις οὐκ ἔχων ἀντειπεῖν ὁ Θεόδωρος πείθεται μόλις καὶ σὺν βάρει καρδίας τὴν ἐπιστασίαν καταδέχεται, ἡνυκὼς τηνικαῦτα τῇ πολι-* f. 205v *τείᾳ τοῦ μοναχοῦ ἐνιαυτὸν τρισκαιδέκατον, || τῷ δ' ὅλῳ τῆς ἡλικίας χρόνῳ πέμπτον καὶ τριακοστόν.*

17. *Τῆς τοίνυν προνοίας τοῦ Θεοῦ ἀγαγούσης ἐπὶ τὴν ἀρχὴν τὸν θεόληπτον, ὅλος εὐθὺς ἐναγώνιος καὶ ἔμφροντις γίνεται, παρασκευάζων αὐτὸν πρὸς πᾶσαν τῶν ἀδελφῶν ἐπιμέλειαν, ἀποδιδοὺς καθ' ἡμέραν ἑκάστῳ τὸ τοῦ λόγου σιτομέτριον καὶ ὑποφωνῶν τοῖς τοῦ πνεύματος μαχηταῖς καὶ διανιστῶν πρὸς τὸν τοῦ ἐχθροῦ πόλεμον· εἰσηγεῖτο γὰρ*

---

6 *τὲ* **RD** || 9 *πειθόμενο˜* **R,** *πειθόμενος* **D** || 10 *τᾶλλα* **R,** *τἄλλα* **D** || 16 *δειλώσει* **R,** em. **D** || 17 *γ'ὂῦν* **R** || 19 *σκέψασθέφη* **R,** *σκέψασθ', ἔφη* **D** || 25 *θέλημάφησι* **RD** || 27 *ἡνυκὼς* **RD** || 33 *τῶ* pro *τὸ* **RD**

*αὐτοῖς τὰ τοῦ ἀποστόλου, ὅτι „Ἡμῖν ἡ πάλη οὐ πρὸς αἷμα καὶ σάρκα, ἀδελφοί, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, καὶ χρὴ διὰ παντὸς νήφειν καὶ τοῖς ὅπλοις τοῦ πνεύματος φράττεσθαι καὶ πᾶσαν καθαιρεῖν δύναμιν τοῦ ἐχθροῦ καὶ μὴ μόνον πρὸς τὰς κατ' ἐνέργειαν ἵστασθαι πράξεις, ἀλλὰ καὶ τοὺς ἐμπαθεῖς λογισμοὺς ἀποδιώκειν τοῦ νοῦ, μή ποτε λάθωμεν κρυπτὸν ἐν τῇ καρδίᾳ ἀνόμημα εἰσοικίζοντες, ἐπειδὴ καὶ τούτων τὰς εὐθύνας ὑποσχεῖν μέλλομεν, καὶ δέος πολύ, μή που ἐν τῇ τῆς δικαιοκρισίας ἡμέρᾳ μετὰ τῶν δερομέ|νων πολλὰς ταχθησόμεθα, ὅτι* **col. 2** *καὶ ἡμῖν τὸ θέλημα τοῦ κυρίου γνωσθὲν παρείθη δι' ἀμέλειαν."*

18. *Ταῦτα διδάσκων διανίστη τῶν ἀδελφῶν τὰ φρονήματα καὶ πρὸς τοὺς ἀγῶνας ἐπήλειφεν· εἶχε δὲ μετὰ τὸν λόγον ὁ πατὴρ καὶ τὸν βίον σιωπῶσαν παραίνεσιν, δι' ἀμφοτέρων πολὺς ὢν εἰς ὠφέλειαν. ἦν δὲ καὶ τοῦτο ἔργου τοῦ μεγάλου αὐτῷ, τὴν ἕξιν καὶ τὴν κατάστασιν καὶ τὸ μέτρον ἑκάστου σκοπεῖν καὶ τὸν μὲν ἁπαλωτέροις ὑπάγειν λόγοις, τὸν δὲ στύφουσι, τὸν δὲ πραέσι, τὸν δὲ τραχυτέροις, ὅσον τούτῳ ἡ φύσις ἐχώρει· παρώρμα γὰρ αὐτοὺς καὶ ἠρέθιζε πρὸς τὰς καθ' ἡμέραν φανερώσεις τῶν λογισμῶν, διδοὺς τὸ ἀνάλογον τῷ νοσήματι φάρμακον. ἐδίδασκέ τε αὐτοὺς καὶ ἐπ' ἐκκλησίας κοινῇ συναθροιζομένους καὶ λόγοις κατήρτιζε κατηχητικοῖς, τρὶς τῆς ἑβδομάδος τοῦτο ποιῶν μετὰ τὴν ὄρθρου ἐκπλήρωσιν. πάντως δὲ ἴσασιν οἱ γευσάμενοι, ὅτι καὶ ἀπὸ λιθίνης καρδίας αἱ τοῦ πατρὸς κατηχήσεις ἐξάγειν δύνανται δάκρυα. ἀλλ' ἰτέον ἡμῖν, τοῦ καιροῦ καλοῦντος, ἐπὶ τοὺς ἄθλους τοῦ γενναίου.* ‖

18. *Κατ' ἐκεῖνο καιροῦ Κωνσταντῖνος ὁ τῆς φιλοχρίστου Εἰρήνης* **f. 206** *υἱός, νεωτερικοῖς βρίθων σκιρτήμασι, τὴν μητέρα ἀπώσας, ἐγκρατὴς τῆς βασιλείας γίνεται· ὃς καὶ διὰ τὸ τῆς νεότητος ἀνειμένον ἔκδοτος ἦν ταῖς ἡδοναῖς καὶ οἷα βόσκημα ἄδετος. οὗτος τὴν ἰδίαν ἐκβαλὼν γαμετὴν ἑτέραν ἠγάγετο, τὸ μοναχικὸν ταύτης ἀπαμφιάσας σχῆμα (μονάζουσα γὰρ ἦν) καὶ τὸ πολυπαθὲς τῆς ἁμαρτίας, φεῦ τῆς τόλμης, ἐνδύσας ἱμάτιον, κακοῖς κακὰ προστιθεὶς ὁ καὶ τοῖς τρόποις αἴσχιστος καὶ ταῖς πράξεσιν. ὁ μὲν οὖν πατριάρχης Ταράσιος ἀνόσιον τοῦτο ἔφασκε τὸ συνοικέσιον, μήτε χειροθεσίαν διδούς, μήτε γνώμῃ συνευδοκῶν. Ἰωσὴφ δέ τις πρεσβύτερος, οἰκονόμος τῆς μεγάλης τυγχάνων ἐκκλησίας, τῶν θείων ἀλογίσας κανόνων καὶ τῷ βασιλεῖ τὰ πάντα δουλωθεὶς ὁ τῆς ἁμαρτίας δοῦλος, τὴν χεῖρα τῇ συζυγίᾳ τίθησι καὶ*

3 *Δϊαπαντὸσ* **R,** *διαπαντὸς* **D** ‖ 5 *κατενέργειαν* **R,** em. **D** ‖ 15 *ἁπαλοτέροις* **RD** ‖ 17 *καθημέραν* **RD** ‖ 25 *νεωτερικῆσ* **R,** em. **D** ‖ 32 *χειροθεσία* **R,** em. **D**

1 *τὰ τοῦ ἀποστόλου* : Ephes. V, 12.

τὴν σύναψιν, ὡς οὐκ ὤφελεν, ἐκπληροῖ. καὶ γίνεται τὸ τοιοῦτον οὐ μόνον ἐν τῇ βασιλευούσῃ, ἀλλὰ κἂν ταῖς ἄλλαις χώραις ὁδός πρὸς | (col. 2) τὰ χείρονα. οὕτως ὁ Βοσπόρου, οὕτως ὁ Γότθος, οὕτως οἱ λοιποὶ τῶν ἐπαρχιῶν ἡγεμόνες τοῦτο ἐνεκολπώσαντο, ἀπολογίαν εὐπροφάσιστον ἔχοντες τὸν Ῥωμαίων βασιλέα.

19. Μαθὼν οὖν ταῦτα ὁ μέγας Θεόδωρος καὶ τῷ ἀπροσδοκήτῳ πληγεὶς ἠνιᾶτο καὶ ἔστενε καὶ τὴν πολλῶν ἀπώλειαν ὠλοφύρετο· ἐδεδίει γάρ, μὴ νόμος τὸ ἄθεσμον γένηται, τῷ κράτει συνηγορούμενον. οὐκοῦν δημοσιεύει τὴν πρᾶξιν καὶ στηλιτεύει τὸν πράξαντα, ἀπορρήξας ἑαυτὸν φανερῶς σὺν τῷ θείῳ Πλάτωνι καὶ λοιποῖς τῆς τοῦ βασιλέως κοινωνίας τε καὶ προσψαύσεως. φημίζεται τοῦτο καὶ τοῖς τοῦ κρατοῦντος ὠσὶ φέρεται. ὁ δὲ ἀκούσας τὴν καρδίαν φλεγμαίνεται, εἰ καὶ πρὸς βραχὺ τοῦ θυμοῦ καθυφίεται· ὑποκρίνεται γὰρ τέως τὸν ἐπιεικῆ, ἄλλως τε καὶ τοὺς ἁγίους κατορρωδήσας, τὸ πρωτεῖον κατὰ πάντων ἔχοντας, οὐκ ἤθελεν εὐθὺς θρασὺς φανῆναι καὶ ἀλαζών, ὑφορώμενος, μὴ τῇ τούτων ἀπορρήξει πᾶν συναπορραγείη τὸ μοναχόν. ὅθεν παντοῖος ἦν τὰ πρῶτα, πάντα μηχα|(f. 206v)νώμενος καὶ ἐπιχειρῶν, εἴ πως λάβοι τούτους ἐπικλινεῖς, μάλιστα καὶ διὰ τὸ ἀφ' αἵματος εἶναι τῷ πατρὶ τὴν συναφθεῖσαν αὐτῷ. ἣν δὴ καὶ προὔτρεψε χρυσίον ἀποστεῖλαι αὐτῷ καὶ δυσωπῆσαι συνθέσθαι. ὡς δὲ τῶν ἐλπίδων διήμαρτε, καὶ λόγους αὐτοῦ καὶ δῶρα ἀπωσαμένου, ἑτέρως πειρᾶται ὑπαγαγεῖν τὸν ἀήττητον. προσποιησάμενος γὰρ τὴν τῶν θερμῶν δῆθεν χρῆσιν, τὴν Προῦσαν καταλαμβάνει, οἰόμενος τόν τε ὅσιον Θεόδωρον καὶ τοὺς ἄλλους πατέρας μετὰ πάντων ἐλεύσεσθαι καὶ τὴν βασιλεῖ πρέπουσαν δοῦναι προσκύνησιν. ὡς δὲ καὶ ταύτης τῆς ἐπινοίας ἠστόχησε, καὶ οὐδεὶς ὠράθη ἐκείνων κἂν πλησιάσας αὐτῷ ἢ λόγου τινὸς μεταδούς, τότε ὅλος τοῦ θυμοῦ γίνεται καὶ τὴν κρυπτομένην ἀνακαλύπτει ὠμότητα, εἰ καὶ πρόσχημα τὴν τῆς ἐξουσίας προὐβάλετο περιφρόνησιν καὶ τὴν ὕβριν δῆθεν τοῦ διαδήματος. καὶ δὴ μεταστειλάμενος τὸν ἐπὶ τῶν σχολῶν αὐτοῦ κόμητα πέμπει σὺν τῷ στρατηγῷ τοῦ ὀψικίου τύψαι κατακόρως ταῖς μάστιξι τὸν μιμητὴν τοῦ Χριστοῦ συνάμα τρισὶν ἄλλοις τῶν προ|(col. 2)κρίτων μοναχῶν· οἳ καὶ μετὰ χαρᾶς τὰ τῶν πληγῶν δεξάμενοι στίγματα εὐχαριστίαν τῷ δεσπότῃ ἀνέπεμπον ἐφ' οἷς δι' αὐτὸν ταῦτα παθεῖν εἵλοντο. καὶ παραυτίκα ἐξορίζουσιν ἐν Θεσσαλονίκῃ αὐτόν τε τὸν ὅσιον καὶ δέκα ἄλλους σὺν αὐτῷ, καθειρχθέντας ἐκεῖσε ἀσφαλῶς οὐχ ἅμα καὶ κατ' αὐτόν, ἀλλὰ καθ' ἕνα καὶ διῃρημένως.

---

11 τὲ **RD** || 26 κἂν **R**; αὐτῶν **D** | 33 ἀπέπεμπον **D** || 34 αὐτὸν τὲ **RD** | 35 καταυτόν **R**, om. **D** || 36 καθένα **RD**

20. Ἀλλ' οἷον κατόρθωμα ὁ τοῦ μεγάλου ἆθλος εἰργάσατο πανταχοῦ, ἔξεστιν εὐθὺς συνιδεῖν. οἱ γὰρ κατὰ Χερσῶνα καὶ Βόσπορον καὶ τοὺς πέριξ τόπους ἐπίσκοποί τε καὶ πρεσβύτεροι καὶ ὅσοι πρῶτοι τῶν μοναχῶν, τὰ κατὰ τὸν ὅσιον διενωτισθέντες Θεόδωρον καὶ ὅπως μέχρις αἵματος πρὸς τὸ τοῦ μύσους ἀντικατέστη ἀκόλαστον, ζηλοῦσι τὸν ἄνδρα καὶ τὰ ὅμοια διαπράττουσιν· ἀπείργουσι γὰρ κοινωνίας τε καὶ ἐκκλησίας τοὺς τὰ τοῦ βασιλέως φρονήσαντας, ἀλλὰ καὶ βασιλέα αὐτὸν καθιστῶσιν ἐκκήρυκτον, μὴ λόγοις αὐτῶν, μὴ δώροις, ἃ πολλὰ τούτοις ἐπέμφθη, μὴ ἄλλῳ τινὶ τῶν παρ' ἐκείνοις ἑαυτοὺς ὑποκλίναντες ἢ ἀπει||λαῖς ταῖς f. 207 αὐτῶν εἴξαντες· οἳ καὶ παραχρῆμα ἐξορίαν καταδικάζονται καὶ τὰ ἴσα τῷ μεγάλῳ πάσχουσιν ἐπ' ἴσῃ τοῦ λόγου παρρησίᾳ. ἐκ δὲ τούτου φόβος ἐμπίπτει καὶ ἀγωνία τοῖς ἀνὰ πᾶσαν ὑφήλιον τὸ ἀνόσιον τοῦτο πράττουσιν ἢ καὶ πράττειν ὡρμημένοις, καὶ γίνεται τοῖς ἀκολάστοις χαλινὸς τὸ πάθος τῶν ἀθλητῶν, καὶ οὕτως ἀνακόπτεται τὸ κακόν, ὥς τι ἄγος καὶ ἀποτροπίασμα τῶν τέως τοῦτο περιεπόντων ἀπελαυνόμενον.

21. Ἐντεῦθεν διαβόητος μᾶλλον καὶ τοῖς πᾶσιν ἐπιδηλότερος ὁ μέγας ἡμῶν πατὴρ καθίσταται, ἀπὸ δόξης προβαίνων εἰς δόξαν καὶ εἰς δύναμιν ἐκ δυνάμεως. τὸν γὰρ ἅπαντα τοῦ βασιλέως χρόνον ἐν Θεσσαλονίκῃ καθειργμένος εἰ καὶ τὸ σῶμα εἶχε κατάσχετον, ἀλλ' ἡ γλῶσσα αὐτῷ πανταχοῦ ἐξήπλωτο ὑπαγορεύοντι καὶ διαπεμπομένῳ καὶ γράμμασι παραθαρρύνοντι τοὺς ὑπερασπιστὰς τῶν κανόνων καὶ φύλακας. πέπομφε δὲ καὶ τῷ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης γράμματά τε καὶ τοὺς ταῦτα διακομίζοντας· παρ' οὗ καὶ ἀντίγραφα ἐδέξατο ἐ|παινοῦντα καὶ ἀπο- col. 2 σεμνύνοντα τήν τε ἀρετὴν αὐτοῦ καὶ τὴν ὑπὲρ τοῦ καλοῦ ἄθλησιν.

22. Ἀλλ' ἐπειδή φησιν ἡ γραφή· 'βασιλεὺς θρασὺς ἐμπεσεῖται εἰς κακὰ καὶ αἱ ὁδοὶ αὐτοῦ σκοτειναί', ἐπανάστασιν πρὸς τοῦ ἰδίου στρατοῦ ὁ δύστροπος ὑφίσταται Κωνσταντῖνος καὶ ἀφαιρεῖται θᾶττον τήν τε βασιλείαν καὶ σὺν ταύτῃ τοὺς ὀφθαλμούς, καὶ παραλαμβάνει πάλιν τὸ κράτος Εἰρήνη ἡ θεοφιλὴς μήτηρ αὐτοῦ. καὶ παραχρῆμα ὁ θεῖος Θεόδωρος συνάμα τοῖς ἄλλοις τῆς ὑπερορίας ἀφίεται, ἐν ταὐτῷ δὲ καὶ ὅσοι τῶν πατέρων ἦσαν κατάκλειστοι τῆς φρουρᾶς ἀπολύονται. καὶ ὁ μὲν τὴν σύναψιν δράσας τοῦ παρανόμου συνοικεσίου Ἰωσὴφ ὁ πρεσβύτερος ἐξωθεῖται τῆς ἐκκλησίας καὶ καθαιρέσει ὑποβάλλεται, εἰσκαλεῖται δὲ ἡ Αὐγοῦστα τὸν ὅσιον καὶ τῷ πατριάρχῃ Ταρασίῳ συμβιβάζει καὶ συνενοῖ, ἐπεὶ μηδὲ οὗτος ἐφάνη τῷ ἀθέσμῳ γάμῳ συνευδοκῶν,

9 παρεκείνοισ R, em. D || ibid. ταῖς om. D || 11 ἐπίσῃ R, ἐπίσῃ D || 13 χαμνὸς D || 30 ἀφίεται om. D; ἐνταυτῶ R, em. D || 35 μηδὲ RD
25 ἡ γραφή: Prov. IV, 19.

εἰ καὶ διά τινα οἰκονομίαν οὐκ ἐκθύμως τὸν δεδρακότα ἠμύνατο· ἔλεγε f. 207v γὰρ || αὐτὴ καλῶς πεποιηκέναι ἀμφοτέρους· τὸν μὲν εἴξαντα βραχὺ καὶ ὑπενδόντα καὶ τῇ μικρᾷ συγχωρήσει μέγα καθαπραΰναντα κακόν, τοῦ ἀπονενοημένου βασιλέως ἐξάρνου γενέσθαι τῶν εἰκόνων διαπειλοῦντος, εἰ μὴ τὸ ἐφετὸν καταπράξοιτο, τὸν δὲ Θεόδωρον περιφανῶς στηλιτεύσαντα τὸ ἀνόσιον καὶ τῇ πολλῇ ἐνστάσει καὶ τῷ ἐλεγμῷ τῆς πρόσω φορᾶς εἴρξαντα καὶ τοὺς τοιοῦτόν τι δράσειν τολμῶντας ἑαυτῶν κατόχους ποιήσαντα. ὧν ἑκατέρων τὴν γνώμην ἀποδεξαμένη ἡ βασίλισσα τὸ σοφὸν αὐτῶν καὶ εὐσύνετον ἀπεθαύμαζε καὶ ὅπως ᾠκονομήθη καλῶς ἀμφοτέροις τὰ πράγματα. πλὴν καὶ αὐτοὶ οἱ θεσπέσιοι πολλὴν πρὸς ἀλλήλους τὴν στοργὴν καὶ τὴν εὔνοιαν ἐπεδείξαντο, ἕτερος θατέρου ἐπαινέτης γενόμενος καὶ οἷον σύμπνους ἐν ἅπασι καὶ ἐραστὴς θερμότατος. τοῦτο γὰρ καὶ ὁ θεῖος πατὴρ ὑπεδήλωσεν ἐν οἷς ἐγγράφως μετὰ ταῦτα ὑπέφηνε τῆς τε ἀγάπης αὐτῶν καὶ συμφυΐας τὸ ἐνδιάθετον· ὃ καὶ col. 2 ἡμῖν στερκτέον | καὶ μετὰ τοῦ καιροῦ τὰ τοῦ καιροῦ λογιστέον, ὡς ἂν καὶ τὸν σκοπὸν ἀμφοτέρων δεξώμεθα καὶ τοὺς ἄλλο τι διανοουμένους μὴ οὕτω γνώμης ἔχειν διδάξωμεν.

23. Ὁ τοίνυν πατὴρ ἡμῶν Θεόδωρος μετὰ τὸ πάντα ὅσα βεβούλητο ἐπικαίρως ἀνύσαι ἔξεισιν εἰς τὸ αὐτοῦ μοναστήριον καὶ συνάγει αὐτῷ τὰ διεσκορπισμένα πρόβατα, ἃ οἱ βαρεῖς λύκοι ἐξῶσάν τε καὶ ἐκάκωσαν καὶ ἐπὶ πᾶν ὄρος ἀπήλασαν. συντρέχει δὲ καὶ πλῆθος μοναστῶν τε καὶ λαϊκῶν ἀριθμοῦ κρεῖττον καὶ τῇ τοῦ μεγάλου παρουσίᾳ συνήδεται, τῆς φήμης πανταχοῦ διαθρυλουμένης καὶ Θεόδωρον κηρυττούσης καὶ Σακκουδίωνα. ἐδείκνυ δὲ ἡ πεῖρα τοὺς λόγους καὶ τὴν φήμην τὰ πράγματα· οἱ γὰρ παραγενόμενοι, βελτίους τὰς ψυχὰς γινόμενοι, πρὸς βίου ἀκρίβειαν ἐρρυθμίζοντο· ἐκ δὴ τούτου πολλοὶ καὶ τῶν τῆς Βύζαντος ἐξήεσαν καὶ ᾗ τάχος εἶχον τῷ ἁγίῳ προσήεσαν καὶ τούτου τῶν λόγων οἷα Σειρήνων ἀψευδῶν ἁλόντες ὑποστροφῆς οὐδ' ὅλως f. 208 ἐμέμνηντο, ἀλλ' ἠντιβόλουν, προσέπιπτον αὐτῷ | συνεῖναι, πάντα καταλιπόντες ὅσα τῆς κάτω περιφορᾶς· οὓς καὶ ὁ μακαρίτης λαμβάνων καὶ λόγοις τοῦ πνεύματος καταρτίζων προσῆγε Θεῷ καὶ ἀρετὴν ἐξεπαίδευεν.

24. Ἀλλὰ τῶν μιαιφόνων Ἀράβων τὴν Ῥωμαίων τὸ τηνικαῦτα κατατρεχόντων καὶ τὰς χώρας πάσας δηουμένων καὶ μετανάστας τοὺς ἐνοικοῦντας ποιουμένων ἀναγκαῖον ἐφάνη καὶ τοῖς πατράσι δρᾶσαι τὰ τοῦ καιροῦ καὶ μὴ προφανεῖ ἑαυτοὺς κινδύνῳ ῥίπτειν. ὅθεν καὶ πρὸς

16 ἀλλό τι **RD** || 22 τὲ **RD** || 26 ἐρυθμίζοντο **RD** || 27 εἶχων **R**, em. **D** | 28 τῷ λόγῳ? || ibid. οὐδόλως **RD** || 32 ἀρράβων **RD**

*τὴν βασιλεύουσαν εἰσῆλθον καὶ εἰς ὄψιν τῷ τε πατριάρχῃ καὶ τῇ Αὐγούστῃ ἐγένοντο. οἵ γε καὶ σὺν πάσῃ τούτους εὐφροσύνῃ δεξάμενοι λιπαροῦσι τὴν τοῦ Στουδίου εἰληφέναι μονὴν καὶ κόσμος γενέσθαι τῇ πρώτῃ τῶν πόλεων. ὑπερφερὴς δὲ πάντως ὁ ναὸς εἴς τε κάλλος καὶ μέγεθος πρὸς λαοῦ πολλοῦ κατοικητήριον. ἔδει γὰρ ὡς ἀληθῶς τὸν μείζονα πάντων ἐν γεννητοῖς, τὸν πάντων κατ' ἀρετὴν μείζονα τῷ ἑαυτοῦ εἰσοικίσαι νεῷ καὶ τοιαύτας φυτεῦσαι ψυχάς, αἳ τόν τε βίον καὶ τρόπον ὑπερφυῆ ἕξουσι καὶ παράμιλλον.| οὕτω γὰρ ὁ πατὴρ ἐπυροῦτο* col. 2 *τὰ σπλάγχνα καὶ τῆς τῶν τέκνων ὠφελείας ἐξείχετο, ὡς ἑαυτὸν εἰ οἷόν τε ἀνάθεμα γενέσθαι ἀπὸ Χριστοῦ κατὰ τὸν ἀπόστολον, μόνον εἰ οὗτοι σῴζοιντο· τούτους γὰρ μᾶλλον ἢ τὸν ἀέρα ἀνέπνει, διδάσκων ὅσαι ὧραι, νουθετῶν, παραινῶν, διεγείρων, παρακαλῶν καὶ πρὸς πᾶσαν ἁπλῶς παιδοτριβῶν ἀρετήν· οὓς καὶ σὺν Θεῷ ἐπὶ μέγα πολιτείας ὕψωσε καὶ διαγωγῆς καὶ τοσοῦτον, ὡς καὶ πᾶσι προκεῖσθαι τύπου τοῦ καλλίστου ὑπόδειγμα.*

25. *Τῆς τοίνυν τοῦ Στουδίου μονῆς λαμπρᾶς οὕτω φανείσης καὶ ἀνὰ στόμα πάντων ᾀδομένης, πολλοὶ συνέρρεον ἐν αὐτῇ μοναχοί τε καὶ λαϊκοὶ καὶ ὅσοι τοῦ ἁβροῦ βίου καὶ ἡδονικοῦ. οὓς καὶ φιλοφρόνως ὁ ὅσιος δεξιούμενος καὶ λόγοις ἐπάρδων πνευματικοῖς ἔπειθε μηδενὸς ἄλλου ἢ ἀρετῆς μόνης ἐξέχεσθαι, κτήματος ἀθανάτου καὶ διαμένοντος· τὰ γὰρ τοῦ κόσμου ἴσα καὶ ἠρινοῖς ἄνθεσι διαρρεῖ, ταῖς ἀγχιστρόφοις μεταβολαῖς ἡμᾶς διαπαίζοντα, καὶ ὅτι δεῖ, φησί, τοὺς ἀποτασσομένους ὑπακοῆς πρὸ τῶν ἄλλων ‖ φροντίζειν καὶ ταπεινοφροσύνης καὶ τοῦ μὴ* f. 208v *στοιχεῖν τῷ ἰδίῳ θελήματι· οὓς καὶ οἷα μαγνήτης εἷλκε πρὸς ἑαυτὸν καὶ ἐξῆρτα καὶ οὐδὲν ἄλλο ἦν αὐτοῖς ἢ Θεόδωρος τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα. πάντα γὰρ παρ' οὐδὲν θέμενοι, καὶ οὐσίαν καὶ φίλους καὶ συγγενεῖς, τούτῳ μόνῳ καὶ τῷ Θεῷ τὰς ἑαυτῶν ἀνετίθουν ψυχάς· ἐφ' οἷς ἠγαλλιᾶτο τῷ πνεύματι ὁ πατήρ, ὁρῶν οὕτω στοιχειουμένους πρὸς ἀρετὴν καὶ κολλωμένους τῷ ἀγαθῷ καὶ τοῦ ἁπαλοῦ βίου τὸν τραχὺν ἀνταλλάττοντας. ἀλλὰ καὶ ὅσοι τῶν εἰσφοιτώντων μοναχῶν ὑπ' αὐτῷ ἤθελον τάττεσθαι, καὶ τούτους τῷ πλάτει τῶν ἑαυτοῦ σπλάγχνων ἐδέχετο καὶ ἴσα τοῖς τέκνοις περιεῖπέ τε καὶ ἐπέθαλπεν, οὐ προτιμῶν μὲν τοὺς παρ' αὐτῷ τρίχας ἀποκειραμένους, ἐκείνους δὲ τοῖς δευτέροις ἐναριθμῶν, ὅπερ ἂν τις πάθοι τῶν φιλοτίμων καὶ περιττῶν, ἀλλὰ κατὰ τὴν ἀρετὴν καὶ τὸν βίον τιμῶν ἕκαστον καὶ ἀποδεχόμενος, ὡς*

6 *κατ' ἀρετὴσ* **R,** *κατ' ἀρετῆς* **D** ‖ 18 *ἀβροῦ* **RD** ‖ 22 *δεῖφησι* **R;** *δεῖ, φησι* **D** ‖ 24 *μαγνῆτις* **RD** ‖ 26 *παρουδὲν* **R,** em. **D** ‖ 30 *εἰσφοιτῶν τῶν* **D** ‖ 32 *περιεῖπεν τὲ* **RD**

col. 2 ἐντεῦθεν αὐξηθῆναι καὶ εἰς ἀριθμὸν ὑπερταθῆναι ¦ χιλιοστὸν μικροῦ δέοντα τοὺς τῇ μονῇ προσεδρεύοντας. ἀλλὰ τούτους πάντας, πλῆθος γεγονότας πολυάριθμον, μόνος ὁ ὅσιος οὐχ οἷός τε ὢν ἀναθεωρεῖν καὶ ἐρευνᾶν καὶ πάντα τὰ ἑαυτῶν ἐπὶ λεπτῷ ἀκριβοῦν τὸ τοῦ θεόπτου Μωυσέως ποιεῖ καὶ καθάπερ ἐκείνῳ οὐκ ἀπεμφαῖνον ἔδοξε χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ δεκαδάρχους εἰς ἐπισκοπὴν προχειρίσαι τοῦ λαοῦ, οὕτω καὶ τῷ θεοφόρῳ τοὺς ἐξέχοντας τῶν ἀδελφῶν εἰς ἐπιστασίαν προστῆσαι τῶν λοιπῶν καλὸν ἐφάνη καὶ πρεπωδέστατον. ὅθεν πράττει μὲν τοῦτο, κλήσεσι δὲ ἄλλαις καὶ οἵας τοὺς τοιούτους ἔχειν εἰκός· ἐπιστημονάρχας γὰρ καὶ ἐπιτηρητὰς καὶ παιδευτὰς τούτους ἐκάλεσεν, ἐκ τοῦ ἐπιτηδεύματος τιθεὶς τὰ ὀνόματα· εἶτα καὶ τοὺς τούτων προὔχοντας, οἷον τὸν τὰ δεύτερα φέροντα, τὸν οἰκονόμον καὶ τὸν παροικονόμον καὶ τοὺς ἄλλους ἑξῆς.

26. Ἐξέθετο μέντοι καὶ παραινέσεις ἐγγράφους τοῖς τὰς ἐπιλοίπους f. 209 τῶν διακονιῶν ‖ ἔχουσι, διὰ στίχων ἰάμβων τοῦτο πεποιηκώς· μᾶλλον δὲ ἡ τῶν στίχων ὑφήγησις ἀπὸ τοῦ καθηγουμένου ἦρκται αὐτῷ καὶ μέχρι τοῦ τελευταίου, εἶτ᾽ οὖν τοῦ ὀψοποιοῦ. διωρίσατο δέ γε καὶ τίνι ἐπιτιμίῳ ἢ ἀφορισμῷ ἢ γονυκλισίᾳ ἢ ἄλλῃ καθηκούσῃ παιδείᾳ ὁ τῶν θείων ὕμνων καθυστερῶν ὑπαχθήσεται, ἢ ὁ σκεῦός τι συντρίβων, ἢ εἰκαίως ῥιπτῶν καὶ παραμελῶν, ἢ ὁ τὸν ἀδελφὸν ἔν τινι διαπληκτίσας, ἢ ὁ λόγον περιττὸν καταχέας τινός. τούτοις πᾶσιν ἀναλόγους τοῖς πταίσμασι τὰς ἐπιτιμίας προὔθηκεν, ὥστε εἶναι τοῖς παρὰ τοῦ πατρὸς καταστᾶσιν ἀρχηγοῖς ἔργον τοῦ μεγάλου σπούδασμα πάντα ἐπισκοπεῖν τὰ τῶν ἀδελφῶν, πάντα διερευνᾶν, πᾶσιν ὑποτιθέναι τὰ δέοντα· συνεφάπτεσθαι δὲ τοῦ κόπου αὐτῶν καὶ τὸν μέγαν πατέρα καὶ εἶναι αὐτὸν οἷόν τινα κυβερνήτην, ὑψοῦ καθήμενον καὶ τῶν ἀνέμων ἐπιτηροῦντα τὰ πνεύματα, ἢ στρατηγὸν ἄριστον ὑπὲρ πάντων πονοῦντα καὶ κινδυνεύοντα | col. 2 καὶ δοκιμὴν ἁπάντων λαμβάνοντα· ὡς πληροῦσθαι ἐπ᾽ αὐτῷ καὶ τὸ τοῦ θείου Ἱερεμίου, ὅτι ʽδοκιμαστὴν δέδωκά σε τοῦ λαοῦ μου, καὶ γνώσῃ ἐν τῷ δοκιμάζειν σε τὴν ὁδὸν αὐτῶνʼ. πρὸς τούτοις τέθεικε πᾶσι κοινὰ καὶ τὰ ἐνδύματα, ἀφορίσας τούτοις καὶ οἴκημα, ἵν᾽ ὁ βουλόμενος τιθοῖτο ἐκεῖσε τὸ ἱμάτιον πρὸς τὸ ἀπορρυφθῆναι κατὰ τὴν ἑβδόμην τῶν ἡμερῶν, καθὰ τούτοις σύνηθες, καὶ ἀναλαμβάνοι ἕτερον παρὰ τοῦ ἐπιτεταγμένου τὴν διακονίαν ἀδελφοῦ, καθαρὸν ἤδη καὶ ἄρρυπον· ἀνῆκε

3 οὐχ οἷός τε **RD** ‖ 5 μωῦσέοσ **R** ‖ 11 πεδευτὰσ **R**, em. **D** ‖ 12 οἷον[τ``] τὰ **R**, οἷον τε τὰ **D** ‖ 13 πρ[α]οικονόμον **R** ‖ 19 σκεῦοσ τί **R**, σκεῦος τι **D** ‖ 21 πᾶσι **RD** ‖ 22 καταστάσιν **RD** ‖ 28 τῶ **R**, τῷ **D** (pro τὸ) ‖ 34 ἄρυπον **RD**

29 Ierem. VI, 27.

γὰρ τὰ πάντων τοῖς πᾶσιν ὁ πατήρ, ὡς ἂν τοῦ χρήζοντος ἕκαστος γίνοιτο καὶ μὴ ἀποκεκληρωμένως τοῦ ἰδιάζοντος· τοῦτο γὰρ σύμπνοια καὶ ἰσότης ἐν ἅπασι κατὰ τὸ εἰρημένον ἐν ταῖς Πράξεσιν, ὅτι ʽτοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ ψυχὴ καὶ ἡ καρδία μία καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλʼ ἦν αὐτοῖς ἅπαντα κοινάʼ. τοῦθʼ ἕνεκα καὶ ὁ πατὴρ ἐν τῷ αὐτῷ ‖ f. 209v τῶν ἱματίων δοχείῳ τὰ ἑαυτοῦ ἀποτιθέμενος οὐ κρείττονα τῶν ἄλλων ἐλάμβανεν, οἷα πρῶτος καὶ προεστώς, ἀλλὰ τὰ μᾶλλον χείρονα καὶ τραχύτερα, ὡς ἂν εἴη κἂν τούτῳ τύπος αὐτοῖς ταπεινώσεως.

27. Μνημονεύων δὲ ἀεὶ τοῦ ἀποστόλου εἰπόντος, ὅτι ʽδωρεὰν ἄρτον οὐκ ἔφαγον, ἀλλʼ αἱ χεῖρες αὗται ἐμοὶ καὶ τοῖς σὺν ἐμοὶ διηκόνησαν', ἀργεῖν οὐδʼ ὅλως ἤθελεν, ἀλλʼ ἐν αἷς ὥραις ἦγε σχολήν, τὰς χεῖρας τοῖς δέλτοις ἐδίδου καλλιγραφῶν καὶ τὸν ἴδιον κόπον τοῖς ἐργοχείροις συνεισφέρων τῶν μαθητῶν· ἐξ ὧν καί τινα τῶν βιβλίων σώζονται παρʼ ἡμῖν, τῆς αὐτοχείρου γραφῆς κάλλιστα ὄντα πονήματα. συνέταξε δὲ καὶ βίβλους ἑτέρας, ἃς αὐτὸς ἰδίᾳ γλώσσῃ ὑπηγόρευσε καὶ θείας εἶναι χάριτος ἔδειξε· καὶ πρώτην μὲν τὴν τῶν Κατηχήσεων, τεσσάρων οὖσαν λόγων καὶ τριάκοντα πρὸς τοῖς ἑκατόν, ᾗ καὶ τοῖς ἀδελφοῖς ὡμιλήθη καὶ ὁδηγὸς ἀρετῆς ἐγεγόνει, πρός τε ἄσκησιν αὐτοὺς καὶ πόνων ὑπομονὴν ἐπαλείφουσα. αὕτη ἡ βίβλος τρὶς τῆς ἑβδομάδος | col. 2 καὶ παρʼ ἡμῖν ἐπʼ ἐκκλησίας ἀναγινώσκεται. δευτέραν τε καὶ τρίτην καὶ τετάρτην τὴν τῶν Μεγάλων λεγομένην Κατηχήσεων, πλατύτερον ὑποφαίνουσαν τὰ καλὰ τοῦ κοινοβίου παραγγέλματα καὶ διδασκαλίαν ἐξακριβοῦσαν τὴν σωτήριον, ὅση δὲ ἡ χάρις καὶ ἡ ὠφέλεια ἐν ἀμφοτέροις ἐστί, παντὶ δῆλον τῷ τοῖς γεγραμμένοις ἐγκύπτοντι. καὶ γὰρ πολλοῖς μὲν ἄλλοις βίβλοι πολλαὶ καὶ ὠφέλιμοι ἐξειργάσθησαν, κάλλει τε καὶ φράσει ὑπερφερεῖς, ἀλλὰ πείθομαι μὴ τοσοῦτον ἀπʼ ἄλλης πρὸς φωτισμὸν ὑπάγεσθαι τὴν ψυχὴν καὶ κατάνυξιν, ὅσον ἀπὸ τῆς θεοπνεύστου ὁμιλίας τῶν τοῦ πατρὸς Κατηχήσεων, ὅλων οὐσῶν τῆς τοῦ πνεύματος χάριτος.

28. Ἔστι δʼ αὐτῷ καὶ ἑτέρα βίβλος, ἡ πανηγυρική, ἐν ᾗ τὰς τοῦ δεσπότου ἑορτὰς καὶ τῆς Θεομήτορος μεγαλοφώνως ἐξύμνησεν, ὡσαύτως καὶ τὰς τοῦ προδρόμου καὶ βαπτιστοῦ καὶ ἄλλων ἁγίων μνήμας ἐγκωμίοις ἐσέμνυνεν· πρὸς δὲ καὶ ἡ διὰ στίχων ἰάμβων συντεθεῖσα βίβλος αὐτῷ κατὰ μέρος ὑπα‖γορεύουσα τήν τε διάπλασιν τοῦ γενάρχου καὶ f. 210

5 τί R ‖ 6 τοῦθ': sic R (τούθ' D) ‖ 19 ἀρετὴσ R, em. D ‖ 25 παντί τω δῆλον R, παντὶ τῷ δῆλον D ‖ 34 προσδὲ' R ‖ 35 κὰταμέροσ R, em. D
3—6 Act. IV, 32 ‖ 10 τοῦ ἀποστόλου: Thessal. III, 8.

τὴν ἐπιτιμίαν καὶ τὸν θάνατον, εἶτα φθόνον τοῦ Κάϊν καὶ φόνον καὶ μέντοι καὶ τοῦ Ἐνὼχ εὐαρέστησιν καὶ τοῦ Νῶε καὶ τῶν ἐξ αὐτοῦ φύντων γέννησιν, βίον καὶ διαγωγήν. ἀπηριθμήσατο δὲ ἐν ταύτῃ καὶ πᾶσαν τῶν κακοδόξων αἵρεσιν καὶ τῷ ἀναθέματι καθυπέβαλεν. αἱ δὲ τῶν ἐπιστολῶν αὐτοῦ βίβλοι πέντε αἱ παρ' ἡμῖν τέως σωζόμεναι, ἐν αἷς καὶ τὸ πεπαρρησιασμένον τοῦ πατρὸς δείκνυται καὶ τὸ καρτερικὸν ἐν τοῖς πάθεσι καὶ ὅπως παντὶ σθένει τοὺς ἀνομοῦντας κατηγωνίσατο. ἔτι μὴν καὶ δογματικὴ βίβλος αὐτῷ ἐπονήθη, λόγων οὖσα ἀντιρρητικῶν καὶ στήλη βασιλέων δυσσεβῶν Κωνσταντίνου τε καὶ Λέοντος, διελέγχουσα τὴν κακίαν αὐτῶν καὶ τὸ μύσος καὶ κηρύττουσα δόγμα τὸ ὀρθόδοξον. αὗται αἱ βίβλοι, ἃς ὁ θαυμάσιος τῇ ἑαυτοῦ γλώσσῃ ὑπηγόρευσεν· εἶχε γὰρ ἀεὶ τὴν ἀληθινὴν σοφίαν τὸν Χριστὸν ἐνοικοῦντα αὐτῷ καὶ τὸ φῶς τῆς γνώσεως ἐπιλάμποντα. διά τοι [τοῦτο] οὐδέποτε ἔληγεν, ἀλλ' col. 2 ἢ | γράφων ὡρᾶτο, ἢ ἄλλοις ὑπαγορεύων, ἢ διδάσκων ἃ ἐδιδάχθη παρὰ τοῦ Πνεύματος, ὡς ἂν διὰ πάντων τὸ δοθὲν αὐτῷ πολυπλασιάζοιτο τάλαντον.

29. Ἀλλ' οὐκ ἤνεγκεν ὁ τοῦ φθόνου πατὴρ μὴ πάλιν κακῶσαι τὸν δίκαιον καὶ θλίψεων πυρῶσαι ἐπιφοραῖς, εἰ καὶ αὐτὸς μειζόνως μᾶλλον ἐξέλαμπεν. ὁ γὰρ τὰ Ῥωμαίων σκῆπτρα τηνικαῦτα λαχὼν Νικηφόρος ὁ δύστροπος, τῷ μὲν δοκεῖν χριστιανὸς τυγχάνων καὶ ἡμέτερος, τῇ δὲ ἀληθείᾳ μισόχριστος καὶ πολέμιος, ἐν πολλοῖς μὲν καὶ ἄλλοις τὸ δύσνουν ἑαυτοῦ καὶ κακότροπον ἐπεδείξατο, πλέον δὲ τῇ καινοτομίᾳ τῆς ἐκκλησίας καὶ κατατομῇ· οὐ γὰρ ἀνῆκεν ἅμα τῷ ἐπιβῆναι τῶν βασιλείων καταναγκάζων καὶ παραπείθων τὸν πατριάρχην Νικηφόρον (ὡς τοῦ Ταρασίου τὸν βίον ἤδη ἀλλάξαντος) δέξασθαι εἰς κοινωνίαν τὸν ἐκκήρυκτον Ἰωσὴφ τὸν πρεσβύτερον, ὃς πάλαι κοινῇ ψήφῳ καθῄρητο· ἔλεγε γὰρ ὁ ἀσύνετος, ὅτι καὶ ὁ καθελὼν αὐτὸν Ταράσιος ἐξ ἀνθρώπων‖ f. 210v ἤδη ἐγένετο καὶ ὅτι συμπείσει πάντας τῇ αὐτοῦ γνώμῃ συνθέσθαι καὶ ὅτι οἰκονομίας μικρᾶς τὸ πρᾶγμά ἐστιν. τούτοις καὶ πλείοσι τὸν πατριάρχην ὑπελθὼν καὶ ἐκβιασάμενος πρᾶξαι τὰ παρὰ γνώμην ἠνάγκασε φοβηθέντα, μή τι χεῖρον οὗτος νεωτερίσοιτο. καὶ δὴ λαμβάνει κοινωνικὸν τὸν Ἰωσὴφ καὶ τὴν ἱερωσύνην αὐτῷ ἀποδίδωσιν. ἀλλὰ τοῦτο τὸ παράνομον καὶ τοὺς πρὶν ἡνωμένους διέτεμε καὶ τὴν ἐκκλησίαν πάλιν διέσχισεν· οἱ μὲν γὰρ περὶ τὸν πατριάρχην ἱερεῖς καὶ κληρικοὶ καὶ γνώμης ἐκοινώνουν τῷ βασιλεῖ καὶ πράξεως, τὰ πάντα καταπεισθεῖς τούτῳ γινόμενοι, οἱ δὲ περὶ τὸν μέγαν Θεόδωρον μονασταὶ καὶ λοιποὶ

---

9 τὲ **R** ‖ 13 διάτοι **RD**; τοῦτο inserui ‖ 29 οἰκομίασ **R**, em. **D**; πρᾶγμα ἐστιν **RD**

τῶν ἐκκρίτων οὔτε παρεδέχοντο τὸ πραχθέν, οὔτε ἐκείνοις συμμετέχειν ἤθελον, φάσκοντες μὴ δεῖν τὰ τῶν πατέρων παρατρέπειν ὅρια μηδὲ τὴν ἐξενεχθεῖσαν κανονικὴν ἀπόφασιν εἰκαίαν οὕτω ποιῆσαι καὶ ἕωλον καὶ ἐπὶ λύμῃ ψυχῶν περιττὰ οἰκονομεῖν καὶ τῆς | ἐκκλησίας ἔκφυλα, καὶ col. 2 μάλιστα πρὸ ὀμμάτων ἔχοντας καὶ τὴν ἐπελθοῦσαν ὀργὴν ἀπὸ Θεοῦ τοῖς τὴν ἀρχὴν καταβαλομένοις τοῦ κακοῦ. οὕτως ἀσύμβατοι πρὸς ἀλλήλους οἵ τε μονάζοντες καὶ ἱερεῖς μείναντες ἤνυσαν πλέον οὐδέν. τίνες δὲ τούτων οἱ τοῦ καλοῦ φροντίσαντες καὶ τῶν καιρῶν εὖ διαθέμενοι, ἡμεῖς μὲν οὐκ ἂν εἴποιμεν, ὅτι μικρὰ πᾶσα ἀνθρωπίνη διάνοια πρὸς τὴν ἀκριβῆ κατάληψιν, Θεὸς δὲ τούτων καὶ γνώστης καὶ κριτὴς ὁ βλέπων ἑτέρως ἢ ὡς αὐτοὶ βλέπομεν. ὁ μὲν γὰρ πατριάρχης ᾔδει μὴ καλῶς ἔχον τὸ πρᾶγμα μηδὲ τοῖς ἱεροῖς κανόσι στοιχοῦν, οὐκ εἶχε δὲ ὅπως μὴ τῷ βασιλικῷ ὑπαχθείη θελήματι, ἵνα μὴ τῷ ἀπειθεῖν σμῆνος ἐπεγείρῃ κακῶν· ὁ δὲ Θεόδωρος, πρὸς μόνον ὁρῶν τὸν Θεὸν καὶ τὸν ἀληθῆ λόγον πρεσβεύων ἀεί, οὔτε πρόσωπον κατὰ τῆς ἑαυτοῦ λαμβάνειν ἐβούλετο ψυχῆς, οὔτε τοῖς παραλόγως δρωμένοις ᾔδει συμφέρεσθαι, ἀλλ' ἐλάλει τὰ μαρτύρια τοῦ Θεοῦ ἐνώπιον βασιλέων καὶ οὐκ ᾐσχύνετο·|| ὃν καὶ αὐτὸς ὁ πατριάρχης ἠγάπα καὶ ἔστεργε καὶ τοῦ ζήλου τὸ θερμὸν f. 211 ἐπῄνει καὶ ἐξεθείαζε, μηδὲν τῆς ἀκριβείας ὑφιέντα δι' ἐπιείκειαν· οὗ καὶ διὰ παντὸς εἴχετο καὶ ἐν καρδίᾳ ἔφερεν ἀνεξάλειπτον. πλὴν οὐδ' ὁ Ἰωσήφ, δι' ὃν τὰ σκάνδαλα, ἐπὶ πολὺ ἀφείθη μένειν κοινωνικός, ἀλλ' ἅμα ὁ τούτου συνασπιστὴς ἀπεβίω βασιλεύς, ἅμα καὶ αὐτὸς τῶν ἱερῶν ἀπώσθη περιβόλων καὶ ἀτιμοτέραν τῆς πρὶν ὑπέστη καθαίρεσιν. ἀλλ' ἡμῖν ἐπανακτέος ὁ λόγος πρὸς τὴν ὑπόθεσιν.

30. Ὡς γὰρ εἶδεν ὁ θρασὺς βασιλεὺς τὴν ἑαυτοῦ γνώμην ὑπὸ τῶν πατέρων ἀκυρωθεῖσαν, τὸν μὲν ὅσιον Θεόδωρον σὺν τῷ ἀδελφῷ Ἰωσὴφ καὶ τῷ θείῳ Πλάτωνι κελεύει περιορισθῆναι ἐν ταῖς πρὸ τοῦ ἄστεος νήσοις, διαιρήσας τούτους καθ' ἕνα καὶ ἀποικίσας, τὸ δὲ πλῆθος τῶν μοναχῶν στρατιωτῶν δοθῆναι προστάττει χερσὶ καὶ φυλάττεσθαι. ὅστις καὶ μεθ' ἡμέρας τινὰς εἰς τὰ τοῦ Ἐλευθερίου παραγεγονὼς παλάτια ἄγει τούτους ἐκεῖ, τῷ | τῆς ἐξουσίας ὄγκῳ δεδίττων καὶ οἰόμενος col. 2 ὑπηκόους λαβεῖν, καὶ διαιρεῖ τοὺς μείζους ἀπὸ τῶν ἐλαττόνων καὶ ἐν δυσὶν ἱστᾷ μέρεσι καὶ πρῶτα μὲν προσβάλλει τοῖς πρώτοις καὶ πειρᾶται λόγοις σοβαροῖς καὶ πεπινενοημένοις ἀποστῆσαι μὲν τοῦ πατρὸς καὶ καθηγητοῦ, αὐτῷ δὲ συνθέσθαι καὶ κοινωνῆσαι καὶ γνώμης καὶ πράξεως.

---

2 μηδεῖν **R** || 12 ἔχων **RD** || 17 ησχύνετο **RD** || 20 διαπαντὸς **RD** || 21 ἐπιπολὺ **R** || 28 νήσ(οισ) **R**, νήσαις **D** || ibid. καθένα **RD** || 33 ἱστᾶ **RD**

17 ἐλάλει κτλ. Psal. 118, 46.

ὡς δ' ἀκλινεῖς τούτους ἑώρακε καὶ αὐτῷ κατὰ μηδὲν εἴκοντας, τότε γίνεται πρὸς τοὺς ἑτέρους ἐπιστρεφὴς καί φησι τούτοις· „Ὅσοι βούλεσθε βασιλεῖ πειθαρχεῖν καὶ πατριάρχῃ καὶ κλήρῳ συνευδοκεῖν, ἐν μέρει στῆτε τῷ δεξιῷ· ὅσοι δὲ τῆς προτέρας καὶ διαθέσεως καὶ ψήφου ἐξήρτησθε, τὴν εὐώνυμον στάσιν ἄπιτε“, κακούργως τοῦτο σοφισάμενος ὁ παράφρων καὶ οἰόμενος τῇ μεταθέσει τῶν τόπων συμμεταθήσειν τούτων καὶ τὰ φρονήματα. ἀλλ' οἱ γενναῖοι μηδὲν ὑποπτήξαντες, μηδέ
**f. 211v** τι τῆς παρρησίας καθυφιέντες, ταῦτα πρὸς τὸν || βασιλέα ἀπεκρίναντο· „Ἡμεῖς, ὦ αὐτοκράτορ, ὅσα παρὰ τῶν πατέρων ἡμῶν ἐδιδάχθημεν καὶ ταῖς ἑαυτῶν ψυχαῖς παρακατέσχομεν, ταῦτα καὶ φυλάττομεν καὶ ἀνόθευτα σὺν Θεῷ περισώζομεν· θείῳ γὰρ οὗτοι κινούμενοι πνεύματι τὰ κρείττονα ἡμῖν καὶ ἐχόμενα σωτηρίας παρέδοσαν· τὰ δὲ νῦν ὑφ' ὑμῶν καινοτομούμενα οὔτε προσιέμεθα, οὔθ' ὅλως ὠσὶν ἡμετέροις παραδεχόμεθα, ὅτι μηδὲ πρὸς ἡμῶν τὰ τῶν ἀνθρώπων τοῦ Θεοῦ προτιμᾶν“.

31. Ἐφ' οἷς καταπλαγέντα τὸν βασιλέα καὶ τὴν ἔνστασιν καὶ παρρησίαν τῶν ἀνδρῶν ἐπιγνόντα, τέως μὲν οὐδὲν ἄλλο ἢ φρουρᾷ κατασχέτους προστάσσει γενέσθαι, ἐν ἑτέροις διανείμας μοναστηρίοις, ὡς ἀχθησομένους καὶ αὖθις δίκην τῆς ἀνηκοΐας δώσοντας, αὐτὸς δὲ ὡς εἶχεν ὁρμῆς τῆς πρὸς Σκύθας ἐκστρατείας εἴχετο. ἀλλὰ τοῦτον ἡ θεία καταλαβοῦσα δίκη τὰ ἐπίχειρα τῶν ἔργων ταχέως εἰσέπραξεν, οὐ μόνον ἡττηθέντα αἰσχρῶς, ἀλλὰ καὶ μαχαίρας ἔργον ἐν τῷ πολέμῳ
**col. 2** γενόμενον. ἄξιον δὲ μηδὲ | τὴν τοῦ πατρὸς ἐπ' αὐτῷ πρόρρησιν σιωπῇ παρελθεῖν· ἐπειδὴ γὰρ ἐκεῖνος ἐξώρμα κατὰ Σκυθῶν καὶ μέγα ἐπῆρτο καὶ ἐβρενθύετο, μεταστειλάμενος τὸν ὅσιόν που πρὸ τοῦ ἄστεος πέμπει τινὰς τῶν ἐπ' ἐξουσίας τοῦτο μὲν πειθοῖ, τοῦτο δὲ βίᾳ ἐνδόσιμον ποιῆσαι αὐτὸν καὶ τῷ κρατοῦντι ἐπικλινῆ. ἀλλ' ὥσπερ ἔνθους ὁ θεοφόρος γενόμενος καὶ ὅλος τοῦ πνεύματος δηλοῖ αὐτῷ τάδε· „Ἐχρῆν μὲν καὶ σέ, βασιλεῦ, μετάμελον ὧν ἐπεπράχεις λαβεῖν καὶ μὴ παρόψεσθαι τοσοῦτον κακὸν ἀθεράπευτον. ἐπεὶ δὲ οὐ μόνον αὐτὸς ἀναλγήτως ἔχεις, ἀλλὰ καὶ ἡμᾶς πρὸς τὸν ὅμοιον ὑποσύρεις ὄλισθον, ταῦτά σοι ὁ παντοκράτωρ δι' ἐμοῦ λέγει κύριος· ἴσθι, ὡς ἐπιστρέφων οὐκ ἐπιστρέψεις τῇ ὁδῷ, ᾗ σὺ πορεύῃ σήμερον ἐκεῖ.“ ἀμέλει καὶ κατὰ τὴν τοῦ δικαίου προφητείαν ἀθλίως ἐν τῷ πολέμῳ ἀναιρεθεὶς ὄνειδος μὲν τῇ Ῥωμαίων, γέλως δὲ καὶ τωθασμὸς τοῖς ἑσπερίοις γέγονεν, ὡς πληρωθῆναι καὶ τὸν τοῦ προφήτου Ὡσηὲ λόγον ἐπ' αὐτῷ· Καὶ ὁ οἶκος τοῦ βασιλέως ||

---

2 καὶ φησὶ **RD** || 14 et 22 μηδὲ **RD** || 24 μεταστηλάμενος **R**, em. **D**; ὅσιον ποῦ **RD** || 30 ταῦτα σοι **R**, ταῦτα σοὶ **D** || 32 ἧς συ **D**

35 Ὡσηέ: cf. Osee VII, 16.

*ἀκούσεσθε, ὅτι πεσοῦνται οἱ ἄρχοντες αὐτῶν διὰ ἀπαιδευσίαν γλώσσης* **f. 212** *αὐτῶν ἀνθ' ὧν παρέβησαν τὴν διαθήκην μου καὶ τὸν νόμον μου ἠσέβησαν'.*

32. *Τούτου οὖν, ὡς εἴρηται, ἀναξίως καὶ ἀγεννῶς τὸ ζῆν ἀπορρήξαντος καὶ Σταυρακίου τοῦ υἱοῦ αὐτοῦ τετρωμένου πρὸς τὴν βασιλεύουσαν εἰσελάσαντος καὶ ἐν ὅλοις δύο μησὶ τῆς ἀρχῆς κρατήσαντος καὶ τὸν βίον εὐθὺς μεταλλάξαντος, Μιχαὴλ ὁ τούτου ἐπ' ἀδελφῇ γαμβρός, τὴν τοῦ κουροπαλάτου ἀξίαν περιέπων, διάδοχος τῆς βασιλείας γίνεται. χριστιανικώτατος δὲ οὗτος ὑπάρχων καὶ λίαν πιστότατος ἀνακαλεῖται τάχιστα τὸν μέγαν Θεόδωρον μετὰ τῶν αὐτοῦ μαθητῶν καὶ τῷ ἰδίῳ μοναστηρίῳ ἀποκαθιστᾷ. γίνεται δὲ καὶ τῶν διεστώτων μελῶν συναρμοστὴς ἄριστος, χρησάμενος μεσίτῃ καὶ διαλλακτῇ καὶ τῷ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, παρ' οὗ καὶ γράμματα ἀφίκετο, τὸ καλὸν σῶμα τῆς ἐκκλησίας εἰς ἓν συνενοῦντα καὶ συμβιβάζοντα καὶ τοῖς τε ἱερεῦσι καὶ μο|νάζουσιν εἰρηνικὴν διδόντα ὁμόνοιαν, δευτέραν, ὡς δεδήλωται,* **col. 2** *τοῦ Ἰωσὴφ ὑποστάντος καθαίρεσιν, δι' ὃν τὰ σχίσματα. οὕτως ὁ πατριάρχης καὶ ὁ ὅσιος τὰ πάντα ἀλλήλοις γενόμενοι καὶ τῇ τε τῆς εἰρήνης ἑνώσει καὶ τῇ ἀδιαλύτῳ συνάψει ἑκάτεροι εἰς ἀλλήλους θαυμαστῶς πως ἐνηδόμενοι ἀδιάσπαστον εἶχον τοῦ λοιποῦ τὴν στοργὴν καὶ τὴν εὔνοιαν, ὡς δοκεῖν μίαν περιφέρειν ψυχὴν ἐν δυσὶ σώμασιν.*

33. *Ἀλλ' ὁ μὲν ὅσιος τὸν καιρὸν τῆς εἰρήνης καιρὸν ἐποιεῖτο τοῦ πνεύματος καὶ τοῖς μαθηταῖς πάλιν ὡμίλει τὰ δέοντα, πρός τε ἄσκησιν ἐπαλείφων αὐτοὺς καὶ πρὸς τὰς τῶν πειρασμῶν προσβολάς. ἀλλὰ καὶ εἴ τινι τούτων πολλάκις λογισμὸς ἐνεφυτεύθη αὐτάρεσκος ἢ πάθος θελήματος ἐκ τοῦ μακρυσμοῦ καὶ τῆς μονώσεως, ταῦτα μὲν ὁ καλὸς ἀνέσπα γεωργὸς καὶ ἐξερίζου, τοὺς δὲ τῆς ὑπακοῆς καὶ ταπεινώσεως καρποὺς ἀντεφύτευεν. ηὔξανεν ὁ λόγος τοῦ Θεοῦ καὶ προέκοπτον ἀρετῇ καὶ χάριτι τὰ τέκνα τοῦ πνεύματος. ‖ πολλοὶ δὲ αὐτῶν μετὰ τῆς πρα-* **f. 212v** *κτικῆς φιλοσοφίας καὶ τῆς διὰ λόγων παιδείας ἀντείχοντο, μαθημάτων τε τῶν καλλίστων ἐπιμελόμενοι καὶ πᾶσαν ἄλλην ἐξασκούμενοι παίδευσιν, ὡς καὶ πονήματα ἐξεργάσασθαι ἴδια καὶ λόγους οἰκείους συγγράψαι καὶ περὶ τὴν γραφὴν ἀκριβῆ ἐσχηκέναι πεῖράν τε καὶ διάγνωσιν. τινὲς δὲ παρ' αὐτοῖς καὶ ᾀσμάτων καὶ μελῶν ποιηταὶ ἀνεδείκνυντο καὶ ἤχου δὲ ψαλμῳδίας καὶ τῆς ἄλλης ἐν τῇ ἐκκλησίᾳ μελῳδίας φιλοπονώτατοι ἐπιστήμονες. ἔτι μὴν καὶ τὰς διὰ χειρῶν τέχνας ἐξήσκουν τε καὶ*

5 *σταβρακίου* **R,** em. **D** ‖ 11 *ἀποκαθιστᾶ* **RD** ‖ 19 *ἀδιάστατον* **D** ‖ 24 *πόθος* **D** ‖ 27 *ἀντεφύτευε* **RD** ‖ 29 *διαλόγων* **RD** ‖ 31 *ἐξεργάσθαι* **RD** ‖ 32 *πεῖραν τὲ* **R,** *πεῖραν τε* **D** ‖ 34 *φιλοπονότατοι* **RD**

*ἐπετήδευον· ὑφάνται γὰρ καὶ ῥαφεῖς ἐν αὐτοῖς, σκυτοτόμοι τε καὶ ὑποδηματορράφοι, σκηνοποιοὶ καὶ οἰκοδόμοι καὶ οἱ τὰς σκυρίδας πλέκοντες καὶ ὅσοι διὰ πυρὸς καὶ σιδήρου τὴν βάναυσον μετίασι. ταῦτα πάντα ἔργα τῶν καλῶν ἐκείνων ἐτύγχανε μοναχῶν, ἑκάστου αὐτῶν τὰς μὲν χεῖρας τοῖς ἔργοις κινοῦντος, τὸ δὲ στόμα τοῖς ὕμνοις διδόντος καὶ τὰ τοῦ Δαυὶδ μελετῶντος λόγια, ὥστε εἶναι τὸν ἀμπελῶνα κυρίου* col. 2 *Σαβαὼθ εὐκληματοῦντα | καὶ τὰς ἀναδενδράδας αὐτοῦ ὑπερηρμένας καὶ τὰς παραφυάδας παντὶ φθανούσας τόπῳ. ἔφθασε γὰρ ὡς ἀληθῶς ἐφ' ὅλην τὴν ὑφήλιον ἡ τῶν θαυμασίων τούτων καὶ φήμη καὶ ἀρετή, ὡς καὶ πολλοὺς αὐτῶν ἐν τόποις τισὶν ἀφιγμένους ἴδιά τε συστῆσαι μοναστήρια καὶ τὴν ἐπωνυμίαν τοῦ Στουδίου ἐπιθεῖναι, ἣν καὶ διασώζει μέχρι τοῦ νῦν.*

34. *Ἀλλ' ἐν τούτοις ὄντων αὐτῶν καὶ πᾶσιν εὐθηνουμένων καλοῖς ἐξαίφνης ἐφίσταται πονηρόν τι πνεῦμα καὶ ὀλέθριον, Λέων ὁ δύστηνος Ἀρμένιος, πᾶσαν διαταράττων τὴν περὶ τὸ θεῖον εὐσέβειαν. τῆς γὰρ Ἑῴας οὗτος στρατηγῶν, ἀπόνοιαν ὠδινήσας καὶ τὸν ὑπὸ χεῖρα στρατὸν δώροις κλέψας καὶ ἄλλους οὐκ ὀλίγους συναρπάσας, ἀποστάτης καὶ πολέμιος τοῦ αὐτοκράτορος γίνεται* Μιχαήλ· *καὶ δὴ πρὸς τὰ μέρη τῆς Θρᾴκης εἰσβαλὼν καὶ πλησίον τῶν βασιλείων γενόμενος βασιλεὺς πρὸς τῶν Μακεδόνων ἀναγορεύεται, ἐκεῖθέν τε ἀπάρας, μηδενὸς ὄντος* f. 213 *τοῦ ἀντιπράττοντος, ἅτε τοῦ ‖ εὐσεβοῦς Μιχαὴλ ἐκκεχωρηκότος καὶ τὸν μονήρη βίον ὑπελθόντος, ἀνόσιον ἡγησαμένου αἵματι ὁμοφύλῳ ἑαυτὸν καταχραίνειν, χειρὸς βίᾳ καὶ παραπληξίᾳ φρενῶν ὁ τύραννος ἐγκρατὴς τῶν ὅλων καθίσταται. παραλαβὼν δὲ τὴν βασιλείαν οὐ πᾶσαν εὐθὺς ἀπογυμνοῖ τὴν κακίαν τῆς ψυχῆς, ἀλλὰ καταλλάξας πρότερον ἑαυτῷ τε καὶ ἀλλήλοις τοὺς στασιάζοντας καὶ τοὺς ἐν τέλει καὶ τοὺς ἐν πολιτείᾳ πανούργως ὑποποιησάμενος τότε τὴν ὅλην αὐτοῦ κακοήθειαν φανεροῖ καὶ τὸ τοῦ λέοντος ἐξερεύγεται βρύχημα. τολμᾷ γὰρ ὁ ἐμβρόντητος τὰ ἀτόλμητα καὶ κατὰ τῶν ἁγίων εἰκόνων ἐνθουσιᾷ καὶ τοὺς πρὸ αὐτοῦ διώκτας ὑπερβαλέσθαι τῇ πονηρίᾳ φιλονεικεῖ, τὴν πάλαι σβεσθεῖσαν φλόγα τοῦ κακοῦ ὑφάπτων καὶ ἀναζωπυρῶν. ἐπαφῆκε γὰρ φωνὴν μιαρὰν καὶ κατάπτυστον ὁ ἀλιτήριος μὴ δεῖν τιμᾶν ἢ σέβειν* col. 2 *τὰς εἰκόνας ἢ ὅλως προσίεσθαι ἢ παραδέχεσθαι, | ἀλλ' ἐκριζοῦν καὶ ἀνασκάπτειν [καὶ] ὡς εἰδώλων ἡγεῖσθαι ἀφομοιώματα. ὢ φωνῆς ἐκείνης ἐναγοῦς, ἣν καὶ ἀὴρ ἐμολύνθη δεξάμενος· ὢ γλώσσης παραφόρου καὶ*

---

1 *τὲ* **R** || 2 *ὑποδηματοράφοι* **RD** || 7 *ἀναδενδράσας αὐτοὺς* **D** || 13 *καλ(οῖς)* **R**, *καλῶν* **D** || 16 *ὑποχεῖρα* **R**, om. **D** || 20 *ἐκεῖθεν* | *Τὲ* **R**, *ἐκεῖθεν τε* **D** || 32 *μηδεῖν* **R**, om. **D** | 34 *καὶ inserui*

τολμηρᾶς, ἢ τὰ μυσαρὰ καὶ ὀλέθρια ταῦτα προήκατο. οὐ γὰρ ἠβουλήθη συνιδεῖν ὁ πανώλης καὶ βέβηλος, ὅτι ὁ κύριος ἡμῶν καὶ Θεός, σπλαγχνισθεὶς ἐπὶ τῷ αὐτοῦ ποιήματι καὶ θέλων ἀνεγεῖραι τὴν φύσιν ἡμῶν κάτω κειμένην ἐν τῷ τῆς ἁμαρτίας πτώματι, εὐδόκησεν ὅλον τὸ καθ' ἡμᾶς ἑαυτῷ οὐσιῶσαι καὶ γενέσθαι δίχα τροπῆς ἄνθρωπος, καθ' ἕνωσιν ἄρρητον σώζων ἑκατέρας οὐσίας, τῆς τε θεότητος καὶ ἀνθρωπότητος, ἀσύγχυτα τὰ ἰδιώματα. ἐντεῦθεν καὶ τῆς ἁγίας αὐτοῦ σαρκὸς τὴν μορφὴν ἔδωκεν ἡμῖν τιμᾶν καὶ σέβειν καὶ προσκυνεῖν, ὡς διαβαινούσης τῆς εἰκόνος πρὸς τὸ πρωτότυπον, ὡς ἂν καὶ τὸ βάθος τῆς θείας οἰκονομίας μὴ ἀγνοῶμεν καὶ τὸν νοῦν ἡμῶν ἀπὸ τῆς ἐν εἰκόνι περιγραφῆς τοῦ Χριστοῦ ἐπὶ τὴν νο||ερὰν καὶ ἀσχημάτιστον τοῦ Θεοῦ μορφὴν ἐπα- f. 213v νάγωμεν καὶ ὅλον θεοειδῆ ἐργαζώμεθα καὶ οὐράνιον. τοῦτο γὰρ τὸ μυστήριον καὶ οἱ θεῖοι καὶ μακαριστοὶ πατέρες ἡμῶν, μίαν λαβόντες παρὰ τοῦ πνεύματος σύμπνοιαν καὶ συνόδους ἱερὰς τελέσαντες, φανερῶς πᾶσιν ἐτράνωσαν, τήν τε κατὰ σάρκα κένωσιν τοῦ κυρίου καὶ Θεοῦ ἡμῶν κρατύνοντες καὶ τὸ ὀρθόδοξον δόγμα κηρύττοντες καὶ τὴν τῶν σεπτῶν εἰκόνων τιμῶντες προσκύνησιν καὶ εἰς ἡμᾶς παραπέμποντες· εἴδωλα δὲ τὰς ἁγίας εἰκόνας οὔτε τις τῶν θεοφόρων ἐκάλεσε πώποτε, οὔτ' ἄνθρωπος λογισμοῦ κύριος κἂν μέχρις ἐννοίας τὸ τοιοῦτον ἄτοπον παρεδέξατο.

35. Ἀλλ' ὁ ἀλαζὼν καὶ ἀναιδὴς βασιλεὺς ὑπὸ τῶν ἀγόντων αὐτὸν δαιμόνων στρατηγούμενος καὶ σκεύη ὀργῆς τὰ εἰς ἀπώλειαν κατηρτισμένα εὑρὼν καὶ τούτους λαβὼν συμβούλους καὶ σύμφρονας, ὧν τῆς συμμορίας ὁ Λακόμαντις οὕτω καλούμενος Ἰωάννης ἐξῆρχεν, ἅτε γλῶσσαν ἔχων ἠκονημένην τῷ ψεύ|δει καὶ τῇ ἀπὸ Θεοῦ μωρανθείσῃ col. 2 σοφίᾳ εὔστροφον, σὺν αὐτοῖς τὸ ἐναγὲς ἐκεῖνο καὶ ἄθεον σαλπίζει πρόσταγμα καὶ πανταχοῦ διαδίδωσι. καὶ δὴ πρῶτα μὲν προσβάλλει τῷ πατριάρχῃ Νικηφόρῳ, οἰόμενος τοῦτον ἢ φόβῳ ἢ κολακείᾳ ἢ δώροις ποιήσειν ἁλώσιμον. ὡς δ' ὑλακτῶν ἐφάνη διὰ κενῆς καὶ οὐδὲν ἄλλο ἢ κύων ἐδείχθη χανών, τοῦ θεσπεσίου ἀκλινοῦς μένοντος, τότε πάντας συναθροίζει ὁμοῦ ἱερεῖς τε καὶ μονάζοντας καὶ αὐτὸν τὸν θειότατον πατριάρχην καὶ τὸν μέγαν Θεόδωρον καὶ καθίσας ὑψοῦ καὶ τὴν ὀφρὺν ἐπάρας ὁ δείλαιος, κύκλῳ παρεστῶτας ἔχων καὶ τοὺς τῆς ἀσεβείας συμμύστας, ἔφη πρὸς τοῖς προτέροις καὶ ταῦτα· ἐσφάλθαι τοὺς τὴν πίστιν ἐκθεμένους καὶ τὴν τῶν εἰκόνων προσκύνησιν ἀνομολογήσαντας,

5 καθένωσιν RD || 21 αὐτῶν RD || 23 ὧν τῆς συμμορίας om. D || 29 διακενῆς RD || 30 ἐδέχθη D || 33 παρεστῶσας D

*καὶ χρὴ περὶ τούτου σκέψασθαι καὶ τὰς ἀμφοτέρων δόξας εἰς μέσον προθεῖναι καὶ φιλοκρινῆσαι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος καὶ κατὰ τὸ* **f. 214** *προλαβὸν δόγμα τοὺς τῶν εἰκόνων τύπους | καθελεῖν, ὡς οὐ θεμιτὸν ὂν εἰκόσι καὶ σανίσι τὰ τῆς λατρείας περιγεγράφθαι ἡμῖν. τοῦτο τὸ ἀνόμημα τὰς ψυχὰς τῶν ἀκουσάντων ἐξέπηξε καὶ τοῦ ψηλαφητοῦ παρ' Αἰγυπτίοις σκότους βαρύτερον ἐφάνη καὶ ζοφωδέστερον. ἀλλ' ἡ θεία τῶν πατέρων ὁμήγυρις, μηδὲν καθυφιεῖσα τοῦ φρονήματος, μηδὲ τὸ ἀπηνὲς τοῦ κρατοῦντος κατορρωδήσασα, ἕκαστος κατὰ τὴν δεδομένην αὐτῷ χάριν τὸν ἀλογώτατον βασιλέα ταῖς ἀπὸ τῶν Γραφῶν μαρτυρίαις ἔβαλλε καὶ διήλεγχεν ἀνόσια λέγοντα καὶ τῆς ἐκκλησίας ἀλλότρια. ἦσαν δὲ οἳ καὶ σιωπᾶν καθόλου καλὸν εἶναι ἔλεγον καὶ μὴ εἰς λόγους μετὰ συνεδρίου ματαιότητος ἔρχεσθαι, ὡς μηδενὸς ὄντος τοῦ ὀρθοτομοῦντος τὴν ἀλήθειαν.*

36. *Ἀλλ' ὁ πατὴρ ἡμῶν Θεόδωρος, θείῳ τὴν καρδίαν πυρωθεὶς ζήλῳ καὶ μὴ οἷός τε ὢν ἑαυτοῦ εἶναι κάτοχος διὰ τὴν ἀλγηδόνα τῆς ψυχῆς καὶ τὴν ἄμετρον χύσιν τοῦ κακοῦ, ταῦτα μετὰ παρρησίας πρὸς* **col. 2** *τὸν βασιλέα· „Τί“ φησίν, „ὦ αὐτοκράτορ, τὴν | ἐκκλησίαν τοῦ Θεοῦ γαληνιῶσαν καὶ εἰρηνεύουσαν διαταράττεις πάλιν καὶ συγχεῖς καὶ τὰ τῆς ἀσεβείας ἐπισπείρεις ζιζάνια; οὐκ ἤκουσας τοῦ μακαρίου Παύλου, τί γράφων Τιμοθέῳ λέγει· ʽΠαράγγελλε αὐτοῖς μὴ ἑτεροδιδασκαλεῖν μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ζητήσεις ματαίας παρέχουσιν [μᾶλλον], ἢ οἰκονομίαν Θεοῦ τὴν ἐν πίστει'. καὶ πάλιν· ʽΕἴ τις ἑτεροδιδασκαλεῖ καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνονται ἔρις, βλασφημίαι καὶ πονηραὶ ὑπόνοιαι· ἀφίστασο ἀπὸ τῶν τοιούτων'. καὶ ἐν ἑτέρῳ· ʽΤαῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ Θεοῦ μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον ἐπὶ καταστροφῇ τῶν ἀκουόντων'. συνῳδεῖ δὲ τῷ ἀποστόλῳ καὶ Ἰγνάτιος ὁ θεοφόρος· ʽΠροφυλάσσω ὑμᾶς, λέγει, ἀπὸ τῶν θηρίων* **f.214v** *τῶν ἀνθρωπομόρφων αἱρετικῶν, οὓς οὐ μόνον | οὐ δεῖ ἡμᾶς παραδέχεσθαι, ἀλλ', εἰ δυνατόν, μηδὲ συναντᾶν'. τούτων τοίνυν διοριζομένων ἐκκλίνειν ὑμᾶς καὶ ἀποτρέπεσθαι, πῶς λοιπὸν μεθ' ὑμῶν στησόμεθα τῶν κεκαυτηριασμένων τὴν συνείδησιν καὶ φθοροποιὰ προϊσχόντων ῥήματα, ὧν ἡ γλῶσσα ἀδικίαν εἰς τὸ ὕψος λαλεῖ καὶ τοῦ κτίστου καὶ*

---

4 *εἴκοσι* **D** || 7 *μηδὲ τὸ ἀπηλὲς* **D** || 18 *γαλυνιῶσαν* **RD** || 21 *μηδὲ* **R** || 22 *μᾶλλον* inserui ex ep. ad Tim. || 25 *γίνωνται* **RD** || 28 *συνῳδᾷ* **D** || 31 *μηδὲ* **RD**

20—22 *παράγγελλε — πίστει*: 1 Tim. I, 3—4 || 22 sqq. *Εἴ τις κτλ.* 1 Tim. VI, 3—4 || 26—28 *Ταῦτα — τῶν ἀκουόντων*: 2 Tim. 2, 14.

ποιητοῦ τὴν θείαν καὶ σαρκομοιόμορφον εἰκόνα ἀτιμάζει καὶ ἀθετεῖ; τίνα δὲ καὶ τὸν δικάζοντα ἕξομεν, βασιλέως παρανομοῦντος καὶ πάντας τῇ ἐξουσίᾳ δεδίττοντος καὶ ἀπειλὰς τοῖς μὴ πειθομένοις προτεινομένου καὶ μάστιγας; ἀσυνεσίας τοῦτο πολλῆς ἐν οὕτω διεφθαρμένοις κρίνεσθαι κριταῖς καὶ τοῦ ἐπιδήλου κακοῦ μὴ ἐκτρέπεσθαι τὸ συνάντημα, ὅπου γε καὶ αὐτὸ τὸ ὁπωσοῦν ὁμιλῆσαι ὑμῖν καὶ συντυχεῖν κομιδῇ περιττὸν καὶ εὔηθες".

37. Τούτων ἀκούσαντα τὸν βασιλέα καὶ θυμοῦ μεγάλου ὑποπλησθέντα ὀργίλως εἰπεῖν καὶ σοβαρῶς· „Καὶ περιττὸς ἐγώ σοι δοκῶ, ὦ οὗτος, καὶ | ἄδικος (τοὔνομα προσειπών), ὅτι περιττὰ φῂς εἶναι καὶ **col. 2** ἄδικα τὰ ἡμέτερα; ἀλλὰ σοὶ μὲν καὶ ὑπερορία, οἶδα, καταθύμιος καὶ ἡ τιμωρία καὶ ὁ θάνατος· ἀλλ' οὐ πείσεις με τέως τοῦτο δρᾶσαι πρὸς σέ, οὐδὲ μάρτυρα σαυτὸν ἐπιφημίσεις, ἐπ' ἐμοῦ δόξαν ταύτην θηρώμενος. ἀλλὰ καὶ τοσαῦτα καταφρονούμενος ὑπὸ τῆς ὑμετέρας, ὡς φατέ, ταπεινώσεως οἴσω καὶ τὸ σφαδάζον καθέξω τοῦ θυμοῦ, προκαλούμενός τε πάλιν ὑμᾶς εἰς ἐξέτασιν καὶ εἰς μέσον τὰς ἑκατέρων δόξας προτιθέμενος, ὡς ἂν τὸ κρεῖττον δόγμα καὶ τὴν κυρίαν λήψοιτο. εἰ δὲ τοῦτο οὐ βούλοισθε, πάντως πρόδηλος ἡ ἧττα ὑμῖν καὶ ἀνάγκη τῷ ἡμετέρῳ ἕψεσθαι καὶ μὴ βουλομένους προστάγματι".

38. Τοῦ δὲ συλλόγου τῶν πατέρων ἅμα τῷ πατριάρχῃ τοὺς τῶν κατεγνωσμένων καὶ αὖθις παραιτουμένων λόγους καὶ τὰ τοῦ ἀποστόλου φασκόντων, ὅτι „Ἡμῖν ἐλάχιστόν ἐστιν, ἵνα ἀπὸ ἀναξίων κριθῶμεν, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας, μήτε ἱερα|τικὸν ὑμῶν ἐχόντων ἀξίωμα καὶ τὰ **f. 215** ὦτα ἐκκεκωφημένων πρὸς παραδοχὴν τοῦ βελτίονος", πάλιν ὁ μέγας Θεόδωρος, ἀναλαβὼν τὴν τοῦ πνεύματος μάχαιραν, θαρραλεώτερον τὰ τοῦ ἀλαζόνος τέμνει προβλήματα καί φησι· „Βασιλεῦ, πρόσσχες τοῖς περὶ ἐκκλησιαστικῆς εὐταξίας τοῦ ἀποστόλου ῥήμασι καὶ μαθών, ὡς οὐκ ἔξεστι βασιλέα κριτὴν ἑαυτὸν ἐν τοῖς τοιούτοις καθιστᾶν, πείσθητι τούτῳ καὶ ἀπόστηθι. λέγει γάρ· 'Ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους'. οὗτοί εἰσιν οἱ τὰ τῆς ἐκκλησίας διερευνᾶν ὀφείλοντες καὶ τὰ δόγματα θεσμοθετεῖν τῆς πίστεως. βασιλεὺς δὲ τῶν πολιτικῶν ἔστω κριτὴς καὶ τῶν ἔξω πραγμάτων διαιτητής". — „Οὐκοῦν ἐκβάλλεις με σήμερον τῆς ἐκκλησίας"; ὁ βασιλεὺς πρὸς τὸν ὅσιον, ἐξ ὀνόματος πάλιν καλέσας αὐτόν. καὶ ὁ

6 *κομιδὴ* **R** || 12 *δράσαι* **RD** || 17 *κυρεῖαν* **RD** || 18 *ἧτα* **RD** || 19 *ἕψεσθε* **R,** *ἕψεσται* **D** || 26 *καί φησί* **RD;** *πρόσχες* **D** || 33 In margine sinistro adscriptum est *βά* (scil. *βασιλεὺς λέγει*). Mox ad vocem *θεσπέσιος* item adscriptum *Θεό* (sc. *Θεόδωρος λέγει*).

29—30 *Ἔθετο — διδασκάλους*: 1 Cor. 12, 28.

*θεσπέσιος „Οὐκ ἐγώ“ φησίν, „ἀλλ' ὁ ταύτης νυμφοστόλος καὶ θεῖος* col. 2 *ἀπόστολος. εἰ δὲ ὡς τέκνον αὐτῆς ἐθέλεις εἶναι, | ἕπου κατὰ πάντα τῷ πνευματικῷ σου πατρί“, τῇ χειρὶ τὸν ἁγιώτατον δείξας πατριάρχην.*

39. *Τούτων εἰρημένων ἀλλοιωθεὶς τὰς φρένας ὁ παράφρων θυμοῦ πλήρη καὶ ὀργῆς ἐξέρρηξε φωνήν, „Ἐξέλθετε ἔνθεν ἀπ' ἐμοῦ“ βοήσας καὶ ἀπειλησάμενος, μηνίων κατὰ τῶν ἁγίων καὶ λυσσῶν καὶ πῶς ἄρα τούτους παραναλώσει σκεπτόμενος. ἐξελθόντες οὖν οἱ γενναῖοι πάντες συνάμα τῷ πατριάρχῃ τὸν μέγαν περιεκύκλουν Θεόδωρον καὶ ψυχαῖς καὶ χείλεσι κατησπάζοντο, τῆς τε παρρησίας καὶ τῆς τῶν λόγων δυνάμεως ἐπαινοῦντες καὶ ἐκθειάζοντες. ἀμέλει καὶ πρὸς τοῦ ἐπάρχου τῆς πόλεως προσταχθὲν μηδενὶ ἐξεῖναι παραβάλλειν τινὶ ἢ παρρησίᾳ τὸν λόγον πρεσβεύειν, ἀλογήσας τοῦ προστάγματος ὁ μακάριος οὕτω τοῖς σταλεῖσιν ἀποκρίνεται· „Εἰ δίκαιόν ἐστιν ὑμῶν μᾶλλον ἢ τοῦ Θεοῦ ἀκούειν, εἴπατε· οὔτε γὰρ πεισθησόμεθα ὑμῖν, οὔτε δειλίᾳ καθυφῶμεν* f.215v *τὴν ἀλήθειαν, ἀλλὰ καὶ μέχρις αἵματος ἀνθεξόμεθα καὶ ‖ τοῦ πατριάρχου καλοῦντος ἐλευσόμεθα καὶ πᾶσι πιστοῖς τὰ κατὰ δύναμιν συνεισφέρωμεν“. ὅθεν τοῖς τε αὐτοῦ μαθηταῖς καὶ πολλοῖς ἄλλοις τὰ εἰκότα παρῄνει καὶ συνεβούλευε καὶ πρὸς τοὺς ἐν χερσὶν ἀγῶνας ἐπήλειφε, ψυχαῖς ἅμα καὶ σώμασι προκινδυνεύειν τοῦ καλοῦ προτρεπόμενος. ἀλλὰ καὶ τῷ πατριάρχῃ παραβαλὼν καὶ τῇ λύπῃ τοῦτον συμπεπτωκότα ἰδὼν καὶ βαρυθυμοῦντα δεινῶς λόγοις τε παρεκάλει τοῦ πνεύματος καὶ συμβουλίαις παρεμυθεῖτο χρησταῖς. „Οὐ“ γὰρ „παρόψεται“ φησὶ „τὴν κληρονομίαν αὐτοῦ ὁ τῶν ἐκδικήσεων κύριος ὑπὸ ἀγρίῳ καταλυμανθῆναι συΐ, ἀλλ' ἐπισκέψεται ἡμᾶς ἐξ ἁγίου κατοικητηρίου αὐτοῦ καὶ δώσει τῶν κακῶν τὴν ἀπαλλαγήν.“ καὶ τί γὰρ ἦν λεγόμενον ἢ πραττόμενον τῷ πατριάρχῃ, ὃ μὴ τῇ τοῦ πατρὸς ἐκυροῦτο γνώμῃ καὶ βουλῇ; εἴτε γὰρ σκέψις τινὸς προὔκειτο, εἴτε κανόνος ὑφήγησις, εἴτε πράγματος ἄλλου ζήτησις, αὐτὸς ἦν ὁ πᾶσιν ἐπισφραγίζων τὸ βέβαιον καὶ δεικνύων* col. 2 *τοῦ λυ|σιτελοῦντος τὴν αἵρεσιν.*

40. *Ἀλλὰ τοῦ ἀοιδίμου πατριάρχου προστάξει τοῦ κρατοῦντος τοῦ θρόνου ἀπελαθέντος κατὰ τὴν εἰκοστὴν τοῦ Μαρτίου μηνὸς καὶ ἐν τῷ αὐτοῦ μοναστηρίῳ τῷ γειτονοῦντι ἐν τῷ Στενῷ περιορισθέντος, ὡσαύτως καὶ πολλῶν ἐπισκόπων καὶ ἱερέων ἐν διαφόροις ἀπαχθέντων τόποις καὶ καθειρχθέντων, ἦν ἰδεῖν τότε τοὺς δυσσεβεῖς πάντα πράττοντας ἀδεῶς, τάς τε ἐκκλησίας κατέχοντας καὶ τὰς ἱερὰς εἰκόνας*

---

1 *ἀλλὰ ὁ* **D** ‖ 4 *τουτ̄* (scil. *τούτων*) **R**, *τοῦτο* **D** ‖ 6 *μηνιῶν* **RD** ‖ 11 *ἐξεῖν* **RD** ‖ 16 *καταδύναμιν* **R**, em. **D**

καταστρέφοντας καὶ ἐπ' ἐδάφους ῥιπτοῦντας (τῆς πολλῆς σοῦ ἀνοχῆς καὶ ἀφάτου μακροθυμίας, δέσποτα·), ἄλλας δὲ αὐτῶν καὶ πηλῷ ἐπιχρίοντας ἢ καὶ πυρὶ παραδιδόντας καὶ πάντα δρῶντας ἐν αὐταῖς, ὅσα τῆς ἐκείνων ἀθλίας καὶ φαύλου ψυχῆς.

42. Ἀλλ' ὁ τῆς ὀρθοδοξίας στῦλος Θεόδωρος ἐν τῇ τοῦ Στουδίου μονῇ καθεζόμενος καὶ στένων πικρῶς καὶ δακρύων ἐπὶ τοῖς γινομένοις, ἐπείπερ ἧκεν ἡ τῶν βαΐων ἑορτή, τῆς συνήθους λιτανείας τελουμένης προσέταξε πᾶσι τοῖς μοναχοῖς ‖ ὑψοῦ τὰς εἰκόνας βαστάζειν καὶ τῷ **f. 216** Θεῷ τοὺς ὕμνους προσφέρειν καὶ τὸν ὅλον τῆς μονῆς διοδεύειν περίβολον, ὡς ἂν καὶ τοῖς πόρρω καὶ τοῖς ἐγγὺς ἡ ἐν ταῖς εἰκόσι τῶν πατέρων φανείη τιμὴ καὶ ἀκουστὴ γένοιτο. ὃ δὴ καὶ τοῖς ὠσὶ τοῦ κρατοῦντος ἐνηχηθέν, ἀπειλαὶ πάλιν κατὰ τοῦ ἁγίου καὶ φόβητρα καὶ ἀγγελίαι πικραὶ καὶ ὡς εἰ μὴ λήξειε ταῦτα ποιῶν καὶ ἐν γωνίᾳ ἑαυτὸν κατακρύψοιτο, πληγὰς καὶ θάνατον εὕροι τὰ ἐπίχειρα. ὁ δὲ οὐ μόνον οὐχ ὑποστέλλεται, ἀλλὰ καὶ μειζόνως μᾶλλον ἀνδρίζεται καὶ τοῖς παραβαλοῦσιν αὐτῷ μετὰ τὴν τοῦ πάσχα ἑορτὴν ἡγουμένοις καὶ λοιποῖς τῶν μοναχῶν καὶ τί δεῖ πράττειν περὶ τῶν κατεπειγόντων βουλευομένοις καὶ πῶς τὴν ἐν τῷ πατριαρχείῳ ἀφοσιώσοιντο πρόσκλησιν (ἐκάλουν γὰρ αὐτοὺς τοῦ ἀτόπου δόγματος συμμεθέξοντας) τὰ σωτήρια παρῄνει καὶ δέοντα καὶ ὅτι καλόν, φησίν, ἀπροΐτους μένειν καὶ γράμμασι τὴν τῆς προσκλήσεως ἐμφῆναι παραίτησιν.

42. Ὃς δὴ καὶ χαράττει ἐπιστολὴν ἐκ | προσώπου αὐτῶν καὶ δυσὶ **col. 2** μοναχοῖς ἀποκομίζειν δίδωσιν, ἣ καὶ ἐπὶ λέξεως ἔχει οὕτως· „Ἡμεῖς νόμοις θείοις καὶ κανόσιν ἑπόμενοι, τοῦ μὴ δεῖν παρὰ γνώμην τοῦ οἰκείου ἐπισκόπου λέγειν ἢ πράττειν τι τῶν ὅσα εἰς ἐκκλησιαστικὴν φέρει ζήτησιν, οὔτε ἀπαντῆσαι δυνάμεθα, οὔτε τοῖς ἐρωτῶσιν ἀποκρίνασθαι, τὸ κρῖμα τῆς ἀπειλῆς φοβούμενοι καὶ τὸ τῆς παραβάσεως ἄφυκτον ἐπιτίμιον. τούτου χάριν, τῆς ὑμετέρας ἐξουσίας καὶ ἅπαξ καὶ δὶς ἐκκαλεσαμένης ἡμᾶς, τὴν ἄφιξιν ἀνεβαλόμεθα, εἰδότες ἑαυτοὺς ὑπὸ τὴν χεῖρα Νικηφόρου τοῦ ἁγιωτάτου πατριάρχου ἰθυνομένους καὶ μηδὲν ἐκτὸς αὐτοῦ τολμῶντας ποιεῖν ἢ πρός τι τῶν κινουμένων ἀπολογεῖσθαι.“ ταῦτα ἐνώπιον τῶν συρφετῶν ἐκείνων προκομισθέντα τὰ γράμματα ὀργῆς αὐτοὺς ἀκατασχέτου ἐπλήρωσεν, ὡς καὶ τὸν θυμὸν ἐπαφεῖναι

---

3 *παραδίδοντας* **D** || 5 *στύλος* **RD** || 9 *περίπολον* **RD**; *περίβολον* sumpsi e cod. Monac. 467 || 10 *ἂν* post *ὡς* supra lineam additum in **R** || 12 *ἀπηλαὶ* **R**, em. **D** || 13 *εἰ* om. **D** || 20 *φη(σὶν)* **R**, *φη* **D** || 23 *ἐπιλέξεως* **RD** || 24 *μηδεῖν παραγνώμην* **R**, em. **D** || 26 *ἀπαντῆσαι — ἐρωτῶσιν* in rasura alia manu et atramento scripta compendiose in **R**

*τοῖς διακομίσασι καὶ πληγαῖς τούτους ἀφορήτοις καὶ ῥαπίσμασιν ἀπελάσασθαι.*

f. 216v 43. *Ἀλλ' οὗτοι μὲν ἐπορεύοντο ‖ χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἀτιμασθῆναι· ὁ δὲ πατὴρ ἡμῶν Θεόδωρος οὐ διέλιπε συχνὰς χαράττων ἐπιστολὰς καὶ πανταχοῦ διαπέμπων καὶ θαρρεῖν παροτρύνων τοὺς προβόλους τῆς πίστεως, ὡς ἂν μηδενὶ τῶν παρόντων τὸ τῆς διανοίας ὑποκλίνοιντο ὄρθιον, μηδὲ τῶν λογισμῶν τὴν στερρότητα ἀποβάλοιντο. ἅπερ καὶ βασιλεὺς αὐτὸς πυθόμενος πέμπει τοὺς τὸν ὅσιον τῆς μονῆς ἀπελάσοντας καὶ ἐν ἐξορίᾳ ἀπάξοντας. ὅς γε καὶ τὴν ἀπόφασιν ὡς πολλοῦ ἐφετὴν δεξάμενος συγκαλεῖ τὸ πλῆθος τῶν μαθητῶν καὶ τοῖς ἀρχηγοῖς παραδοὺς καὶ προὔχουσι, δύο οὖσι καὶ ἑβδομήκοντα, καὶ παραγγείλας πᾶσι μηδένα μετὰ τὴν αὐτοῦ ἐξέλευσιν τῷ μοναστηρίῳ προσμεῖναι, ἀλλ' ὑποχωρεῖν τοῦ καιροῦ τὸ δυσήμερον, αὐτὸς ἐν τῷ κατὰ τὴν Ἀπολλωνιάδα φρουρίῳ, ὃ καλεῖται Μέτωπα, παρὰ τῶν ἀπαγόντων* (col. 2) *περιορίζεται. ἐκεῖσε δὲ ὢν κατάσχετος ὁ τοῦ ¦ Χριστοῦ δέσμιος οὐδ' οὕτως ἔληγε γράφων πᾶσι καὶ ὑφηγούμενος τὰ συνοίσοντα.*

44. *Ὅθεν καὶ ταῦτα γνοὺς ὁ κρατῶν καὶ τῶν λόγων αὐτοῦ τὴν ἰσχὺν διαναμαθὼν ἀποστέλλει Νικήταν ἐκεῖνον τὸν τοῦ Ἀλεξίου, ἄνδρα μὲν καὶ φιλόθεον, τοιοῦτον δὲ εἶναι παρ' αὐτῷ ἀγνοούμενον, μεταθεῖναι τὸν ἅγιον ἐν τοῖς τοῦ Ἀνατολικοῦ κλίμασι καὶ καθεῖρξαι εἴς τι ὀχύρωμα δύσβατον, ᾧ προσηγορία Βόνητα, παραγγεῖλαί τε ἀσφαλῶς μηδένα μήτε ὁρᾶν, μήτε ὁμιλεῖν, μήθ' ὅλως διδάσκειν τι περὶ πίστεως. ὃς καὶ τὸ τοῦ βασιλέως πρόσταγμα τῷ ὁσίῳ ἀποδούς, „Τὴν μὲν τῶν τόπων ἄμειψιν", φησὶν ὁ πατήρ, „προθύμως μάλα καὶ σὺν ἡδονῇ ποιήσαιμι, ἐπεὶ μηδενὶ τόπῳ τυγχάνω περιγραπτός, πᾶσαν ἔχων ἐμήν, εἰς ἣν ἂν ῥιφῶ· τὴν δὲ γλῶσσαν ἐμὲ ἐπισχεῖν οὐδεὶς ἂν" φάναι „τοῦτο ποιήσοι, ἕως ἄν μοι πνοὴ ἐν ῥισίν". ἔγνω καὶ ταύτην τοῦ δικαίου τὴν ἔνστασιν* (f. 217) *ὁ δύστροπος ‖ Λέων καὶ τὸν Νικήταν μυρίαις ταῖς ὕβρεσιν ἔβαλεν, ὅτι μὴ παραυτίκα ἐπεξῆλθεν αὐτόν. ὃν καὶ αὖθις ἐκπέμπει ἑκατὸν αὐτῷ δοῦναι μάστιγας καὶ ταύτῃ ἀμύνασθαι. ὅστις καὶ τὸν ἅγιον καταλαβὼν καὶ ὅτου χάριν ἥκοι ἀπαγγείλας εἶδε τοῦτον εὐθὺς ἑαυτὸν πρὸς τὸ μαστίζεσθαι ἑτοιμάσαντα καὶ τὸν τρίχινον χιτῶνα μετὰ χαρᾶς ἀποδυόμενον. ὠκλάσθη πρὸς ἔλεον ὁ συμπαθὴς οὗτος ἀνήρ, γυμνὰς τὰς τιμίας ἐκείνας σάρκας ἑωρακώς, ἃς καὶ χρόνος καὶ νηστεία κατεδαπάνησε,*

---

8 *μηδὲ* **RD** ‖ 18 *γνοῦς* **RD** ‖ 19 *ἀναμαθὼν* **D** ‖ 22 *παραγγεῖλαι τε* **RD** ‖ 23 *τί* **R** ‖ 26 *τὸ τόπω* **R,** *τῷ τόπῳ* **D** ‖ 29 *ὕβρεσι* **D** ‖ ibid. *ὅτιμη* **R** ‖ 32 *τοῦτο* **D** ‖ 33 *τρύχινον* **RD** ‖ 34 *ὀκλάσθη* **R,** *ἐκλάσθη* **D**

καὶ δὴ σοφόν τι διανοεῖται ὁ εὐσύνετος. τὸ δὲ ἦν προβάτου ἐνεχθεῖσα δορὰ καὶ τοῖς ὤμοις ἐπιτεθεῖσα τοῦ πατρός, ἅτε μόνος μετὰ μόνου ἀπολειφθεὶς κατὰ ταύτης τὸν τῶν μαστίγων ποιήσασθαι ἀριθμὸν καὶ ταύτῃ τὸ βασιλικὸν ἀφοσιώσασθαι πρόσταγμα. ὡς ἂν δὲ καὶ ῥανίδες τοῦ αἵματος ἐπιφαίνοιντο, σιδηρίῳ μικρῷ τὸν οἰκεῖον αἱμάσσει βραχίονα καὶ ἐκ τοῦ καταρρεύσαντος τὸ ἄκρον ἐπιβάψας τῆς μάστιγος, οὔ|τω **col. 2** ταύτην ἐξελθὼν δείκνυσι σαρκὶ φοινιχθεῖσαν καὶ αἵματι, αὐτὸς δῆθεν ἀσθμαίνων καὶ ὑποκρινόμενος τὸν κατάκοπον.

45. Τοῦτον τοίνυν θαυμάσας ὁ ὅσιος καὶ τῆς πολλῆς ἀποδεξάμενος πίστεως εὐχαῖς ἠμείψατο καὶ ἐφωδίασεν· οὐ μὴν αὐτὸς τῆς προτέρας ἀφίστατο διαθέσεως ἢ τὴν γλῶσσαν περὶ τὸ λέγειν ἐπέδησεν, ἀλλὰ ψυχῇ μᾶλλον θερμοτέρᾳ τὸ τῆς ἀληθείας δόγμα κατήγγελλεν, ἐπέστελλέ τε καὶ τοῖς ἐν ἐξορίᾳ πατράσιν ἀνδρείως ἅμα καὶ ῥωμαλέως πρὸς τὰ παρόντα ἵστασθαι καὶ φέρειν εὐψύχως τὰς νιφάδας τῶν πειρασμῶν. ἀλλὰ καὶ τοὺς αὐτοῦ μαθητὰς τῆς καλῆς ὁμολογίας παρεκάλει ἀνενδότως ἔχεσθαι καὶ μέχρι θανάτου ἐναθλεῖν ἐν τοῖς πάθεσιν, „Ὅτι οὐκ ἄξια“ φησὶ „τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς, καὶ ὅτι τὰ νῦν στίγματα τῆς σαρκὸς ἡμῶν εὐφροσύνην ἡμῖν προξενήσει αἰώνιον“. ‖ **f. 217v** τινὰς δὲ τούτων τῇ χρονίᾳ καθείρξει καὶ ὑπερορίᾳ πρὸς τὰ δεινὰ ὀκλάσαντας καὶ τοῖς τῶν κρατούντων ὑπαχθέντας θελήμασι ταῖς δι' ἐπιστολῶν αὐτοῦ παραινέσεσι πρὸς ἑαυτὸν πάλιν μετήγαγε καὶ τῷ καλῷ σώματι συνῆψε τῆς ἀδελφότητος· οἳ καὶ γράμμασι τὴν ἑαυτῶν μικροψυχίαν ἐξαγορεύσαντες τὴν συγχώρησιν ἐκομίσαντο. πέπομφε δὲ καὶ πρὸς τοὺς τέσσαρας πατριάρχας ἐπιστολάς, ἀναδιδάσκων τούτοις ἐπὶ λεπτῷ τὴν τῶν κακοδόξων αἵρεσιν καὶ τὸ ἰταμὸν τούτων καὶ βίαιον καὶ παρακαλῶν βοηθῆσαι πίστει κινδυνευούσῃ καὶ ἀληθείᾳ.

46. Ἐπεὶ δὲ καὶ τοὺς ὡς αὐτὸν φοιτῶντας φιλοφρόνως ἐδεξιοῦτο καὶ λόγοις ὠφέλει τοῦ πνεύματος, συνέβη τὸ τηνικαῦτα καί τι γενέσθαι τοιοῦτον. κληρικὸς γάρ τις τῶν ἐπιφανῶν, ἀπὸ τῆς Ἀσίας ὁρμώμενος καὶ πρός τινας τῶν αὐτοῦ συγγενῶν ἀφικνούμενος, οἳ αὐτοῦ που κατῴκουν, ἔνθα ὁ δίκαιος ἦν ὑπερόριος, οὗτος τὰ περὶ τοῦ ὁσίου πυθόμενος καὶ ὅτου ἕνεκεν τυγχάνοι κατάσχετος, | **col. 2** ἐζήτησε κατιδεῖν αὐτὸν καὶ λόγου ἀπολαῦσαι αὐτοῦ. ἦν γὰρ καὶ πρὸ τοῦ τῇ φήμῃ τούτου προκατειλημμένος καὶ τῇ ἀρετῇ. ὡς δ' ἔτυχε τοῦ σκοποῦ καὶ εἰς ὄψιν ἐγένετο

---

13 ἐνεξορία **R,** em. **D** ‖ 17 ἄξιάφησι **R** ‖ 21 διεπιστολῶν **R,** em. **D** ‖ 25 λεπτῶν **D**

τῷ πατρὶ καὶ λόγων ἐνεφορήθη τῶν αὐτοῦ, τὴν τῶν εὐχῶν εὐλογίαν τρυγήσας καὶ φρόνημα λαβὼν περὶ τὴν πίστιν στερρὸν ἐπάνεισιν εἰς τὰ ἴδια. ὅς γε καὶ ἐν μιᾷ τοῖς αὐτοῦ ἑταίροις συγκαθεσθεὶς θαρρεῖ τούτων ἑνί, ὃν μᾶλλον τῶν ἄλλων ἔστεργεν, [εἰπεῖν,] ὅτι τε ἑωράκει τὸν μέγαν Θεόδωρον καὶ ὅτι τῆς αὐτοῦ διδασκαλίας μετειλήχε καὶ ὅτι δόγμα τὸ ὀρθόδοξον ἐμυήθη τρανώτερον. ὃν καὶ παραυτίκα σύμφρονα τῆς γνώμης λαβών, ἀποσπῶσιν ἑαυτοὺς ἑκάτεροι τῆς τοῦ ἐπισκόπου αὐτῶν κοινωνίας καὶ προσφορᾶς, ὡς ἐκείνου τοῖς αἱρεσιάρχαις αὐτομολήσαντος. ὁ δὲ μαθὼν τὰ κατ' αὐτοὺς πρὸς τὸν τῆς χώρας εὐθὺς ἀφικνεῖται στρατηγὸν καὶ ἀπαγγέλλει αὐτῷ τὰ τῶν κληρικῶν καὶ ὅθεν αὐτοῖς ἡ αἰτία τῆς δια-
f. 218 στάσεως. ὡς δὲ ταῦτα οὗτος ἐπύθετο, ὅλος ‖ τοῦ θυμοῦ γίνεται, καὶ ἄλλως ἄγριος ὢν καὶ ἀνήμερος καὶ τῶν θείων εἰκόνων ὑβριστὴς χαλεπώτατος. ὃς καὶ θᾶττον καταμηνύει τῷ βασιλεῖ τὴν ὅλην αἰτίαν τοῦ δράματος, γράφει δὲ καὶ τῷ τῆς Ἑῴας στρατηγοῦντι μὴ ἀτιμωρήτους ἐᾶν τοὺς ἐναντιουμένους τῷ αὐτοκράτορι, ἀλλ' ἐνδίκως ἀμύνεσθαι καὶ σπεύδειν πρὸς τὴν ἐκδίκησιν. ὅς γε καὶ δέει ληφθείς, μή τι αὐτῷ κακὸν ἐντεῦθεν προσγένοιτο, ἀποστέλλει ἕνα τῶν ὑπ' αὐτὸν τύψαι τὸν ὅσιον πεντήκοντα μάστιγας.

47. Καὶ δὴ οὗτος καταλαβὼν καὶ τὴν αἰτίαν ἐπειπὼν τῆς ἀφίξεως, ἅμα τῷ λόγῳ ὁ δίκαιος τὴν ἐσθῆτα ἀποδύεται καὶ τύπτειν γυμνὸν τὸ σῶμα προτρέπεται. προσσχόντος δὲ αὐτοῦ τῷ ἁγίῳ καὶ τὰς κατερρικνωμένας αὐτοῦ σάρκας καταιδεσθέντος καὶ οἰκτείραντος, ὅλος σύνδακρυς γεγονὼς πίπτει πρηνὴς καὶ τῶν αὐτοῦ ἅπτεται ποδῶν, συγγνώμην αἰτῶν
col. 2 ἀνθ' ὧν τὸ παράνομον τουτὶ πρᾶξαι διενοήσατο. εὐλογηθεὶς | δὲ παρὰ τοῦ ὁσίου ὁ θεοφιλὴς οὗτος καὶ εὐχαῖς ταῖς αὐτοῦ προπεμφθεὶς ἧκε πρὸς τὸν ἀποστείλαντα. οὔπω δὲ αὐτοῦ τὸν λόγον, δι' ὃν ἀπεστάλη, ἀποπληρώσαντος καὶ πονηρὸς ἄλλος παρὰ τοῦ βασιλέως ἐλήλυθεν ἄγγελος, ὄνομα τούτῳ Ἀναστάσιος, οὕτω καλούμενος Μαρτινάκιος, ὕβρεσιν οὔτι μετρίαις τὸν στρατηγὸν διαλοιδορούμενος καὶ ἀπειλαῖς μεγάλαις ἐκδειματῶν, ὅτι μὴ ἐκθύμως ἐτιμωρήσατο τὸν Θεόδωρον. τοῦ δὲ καὶ πεπομφέναι καὶ τετυφέναι τοῦτον εἰπόντος, αὐτός, ἅτε ἀπηνὴς ὢν καὶ θηριώδης τὸν τρόπον, ᾗ τάχος εἶχε πρὸς τὸν ὅσιον ἔδραμεν αὐτοψεὶ τὰς πληγὰς θεασόμενος. ὃν καὶ περιδύσας καὶ γυμνὸν στήσας <ποῦ φησι> διηρεύνα τὰ πρὸ μικροῦ τῶν μωλώπων στίγματα· μηδὲν δὲ ὧν ἐζήτει εὑρηκώς, μέγα ἀνακαγχάσας καὶ τὸν εἰρηκότα τετυφέναι

---

4 εἰπεῖν inserui ‖ 9 και|Ταυτοὺσ **R** ‖ 10 ἐπαγγέλλει **D** ‖ 15 ἑαυτοὺς pro ἐᾶν τοὺς **D** ‖ 20 αἰσθῆτα **RD** ‖ 21 προσχόντος **RD** ‖ 34 ποῦ φησι videntur delenda

καταμωκώσας αὐτὸς ταῖς ἑαυτοῦ χερσὶ μαστίζει τὸν δίκαιον, ἑκατὸν δεδωκὼς σφοδροτάτας πληγάς, καὶ καθείργνυσιν ‖ ἔν τινι ζοφώδει καὶ f. 218v βραχυτάτῳ δωματίῳ ἅμα Νικολάῳ τῷ πιστῷ μαθητῇ καὶ τῆς ἀθλήσεως κοινωνῷ. οὕτω τὰ κατὰ γνώμην πράξας ὁ δυσώνυμος καὶ τὴν εἱρκτὴν πανταχόθεν ἀναφράξας, φύλακάς τε ταύτῃ ἐπιστήσας ἐκεῖθεν ἐξώρμησεν, ἄγων μεθ' ἑαυτοῦ καὶ δύο τοῦ ὁσίου μαθητάς, οὓς ἀλλαχοῦ ἐμφρούρους ποιήσειν ἔμελλεν. ὡς δ' ἐπανῆκεν αὖθις, ἔνθα ὁ στρατηγὸς ἐτύγχανεν, καὶ τοῦτον διεβεβαίου μὴ παρ' ὁτουοῦν τυφθῆναι τὸν Θεόδωρον, δείσας οὗτος, μὴ τὸν κρατοῦντα ἐκπολεμώσοι αὐτῷ, ἐνέγκας τὸν θεοφιλῆ ἐκεῖνον μαστίζει ἐνώπιον αὐτοῦ διπλασίονα. καὶ οὕτως ἡσθεὶς ὁ ἀλαζὼν καὶ ἀμείλικτος πρὸς τὸν βασιλέα θᾶττον εἰσήλαυνεν.

48. Ἀλλ' ὅσην οἱ ἅγιοι ταλαιπωρίαν ἐν τῇ φρουρᾷ ταύτῃ ὑπέμειναν, οὐκ ἄν τις ἐναργῶς παραστήσειεν. ἥ τε γὰρ τοῦ χειμῶνος ὥρα, τῷ ψύχει αὐτοὺς καὶ τῷ κρύει πηγνύουσα, δριμείας ἀλγηδόνας καὶ ἀφορήτους κλόνους ἐνεποίει τοῖς σώμασιν, ὅ τε τοῦ θέρους πάλιν φλογμὸς | οὐδὲν ἧττον καμιναίας αἰθάλης συνέκαιέν τε αὐτοὺς καὶ col. 2 ἐξέτηκε καὶ μόνον οὐκ ἐξεῖλκε τῶν ῥινῶν τὴν πνοήν. προσθήκη δὲ αὐτοῖς τοῦ κακοῦ καὶ αἱ ψύλλαι καὶ τὰ μικρὰ ἄλλα ζωΰφια, ἃ πολλὰ καὶ ἀμύθητα ὁ ζοφώδης ἐκεῖνος μυχὸς ἀνεδίδου καὶ ἔτρεφεν, οὕτω ῥυπώδης ὢν καὶ χωμάτων πλήρης καὶ κόνεως. πρὸς δέ γε τοῖς ἄλλοις καὶ ὁ διδόμενος τοῖς δυσὶν ἄρτος ἐφήμερος εἰς τοσοῦτον ἐκολοβώθη βραχύτητος, ὡς μόλις ἐπαρκεῖν τῷ ἑνί, ἐκ κακούργου σκέψεως παρὰ τοῖς ἀνοσίοις τοῦτο γενόμενον, ὡς ἂν εἰς στενὸν αὐτοῖς τὰ τῆς ζωῆς περιστῇ καὶ πρὸ ὥρας οἰχήσονται. ἐν αἷς ἡμέραις εἰρηκέναι φασὶ τὸν μέγαν Θεόδωρον πρὸς τὸν ἑαυτοῦ μαθητὴν καὶ συνδέσμιον· „Ὡς ὁρῶ, τέκνον, ὅτι οἱ ἄνθρωποι οὗτοι, πολλῇ καθ' ἡμῶν χρησάμενοι ὠμότητι, πᾶσαν ἐπίνοιαν ἐξευρίσκουσιν εἰς τὸ θᾶττον ἡμᾶς ἐκτρῖψαι καὶ θανάτῳ παραδοῦναι πικρῷ, ὡς μέγα τι κέρδος ἐντεῦθεν ἕξοντες. ‖ ἀλλὰ δεῦρο f. 219 σὺν Θεῷ τὸ συνοῖσον ἑαυτοῖς βουλευσώμεθα· καὶ ἐμοὶ μὲν ἀρκοῦσα ἔστω μόνη ἡ τῶν θείων μυστηρίων μετάληψις, σὺ δὲ τῷ βραχεῖ τούτῳ τοῦ ἄρτου μόνος κέχρησο εἰς διατροφήν, ὡς ἂν μικρὰν παρέχοις τῷ σώματι σύστασιν καὶ περιλειφθείης τῷ βίῳ καὶ ἀπαγγείλαις τῷ τε οἰκονόμῳ καὶ τοῖς ἀδελφοῖς τὴν ἐμὴν ἀπὸ τοῦ σκήνους ἔξοδον“.

49. Ἀλλ' ὁ ἐμπιπλῶν πᾶν ζῶον τῆς αὐτοῦ εὐδοκίας Θεὸς οὐδὲ

5 εἰρκτὴν **RD**; φυλακάς τε **D** || 8 ὅτου οὖν **D** || 10 θεοφιλεῖ **RD** || 12 ὅσιν **R**, em. **D** || 20 προσδέγε **R** || 23 λεγόμενον pro γενόμενον **D** || 24 οἰχήσωνται **R**, em. **D** || 27 ἐκτρίψαι **RD** || 30 τῶ βραχὺ **R**, em. **D**

34 ὁ ἐμπιπλῶν — Θεός: cf. Psalm. 144, 16.

τοὺς αὐτοῦ ὁσίους τὴν ἀπὸ τοῦ λιμοῦ ἰδεῖν εἴασε διαφθοράν, ἀλλὰ καὶ προνοίας ἠξίωσε καὶ τροφὴν ἐχορήγησε. κατὰ γὰρ τὴν λεωφόρον ἐκείνην τῶν περιφανῶν τις καὶ τὰ πρῶτα παρὰ βασιλεῖ ἐχόντων ὁδεύων διηνωτίσθη τὰ κατ' αὐτοὺς καὶ ἐν οἷς εἰσι διανέμαθεν. ὃς καὶ λαβὼν αὐτῶν ἔλεον, τοῦ Θεοῦ πάντως τοῦτον κινήσαντος, προσέταξεν, ἅτε παρὰ τῆς ἐξουσίας ἔχων τὸ θαρρεῖν, δίδοσθαι τούτοις ἀνυστερήτως τὴν αὐτάρκη τροφὴν καὶ μὴ ἐᾶσαι λιμοῦ γενέσθαι παρανάλωμα. ὃ καὶ γέγονεν ἔκτοτε col. 2 προνοίᾳ | τοῦ πάντα οἰκονομοῦντος Θεοῦ.

50. Ἐν ὅλοις δὲ τρισὶν ἔτεσιν ὄντων ἐκεῖσε καθειργμένων τῶν ἁγίων καὶ πολλὰ δεινὰ πασχόντων διὰ τὸ καὶ τῇ συντρόφῳ ἀσθενείᾳ τοῦ στομάχου τὸν θεῖον πατέρα ἐλεεινῶς κατατρύχεσθαι, μήπω τῶν προτέρων ληξάντων κακῶν ἕτερα τούτους χαλεπώτερα κατελάμβανεν. εἰς χεῖρας γὰρ τοῦ τυράννου ἐπιστολὴ τοῦ ὁσίου οὐκ οἶδ' ὅθεν ἐμπεσοῦσα καὶ τὸν ἄγριον ἐκεῖνον θῆρα πλέον ἐκμήνασα, ἅτε στήλη καὶ ἔλεγχος τῆς αὐτοῦ παραπληξίας τυγχάνουσα, πέμπει ταύτην παραυτίκα τῷ μνημονευθέντι τῆς Ἑῴας στρατηγῷ, παρακελευσάμενος σφοδροτάταις ὑπελθεῖν μάστιξι τὸν ταύτην ὑπαγορεύσαντα. ὃς δὴ καὶ μετὰ σοβαροῦ τοῦ φρονήματος πρὸς τοὺς ὁσίους παραγενόμενος καὶ τὴν πεμφθεῖσαν δείξας ἐπιστολήν, εἰ οἰκεία τούτων ἐστί, πυνθάνεται. τοῦ δὲ πατρὸς ἑαυτοῦ <φησι> καὶ οὐκ ἄλλου εἶναι διομολογήσαντος, προστάσσει f. 219v εὐθὺς γυμνῷ τῷ σώματι διαταθῆναι τὸν αὐτοῦ ‖ μαθητὴν πρότερον καὶ ἐπ' ὄψεσι τοῦ διδασκάλου τύπτεσθαι· εἶθ' οὕτως καὶ αὐτὸν ἀνηλεῶς τύπτει τὸν ὅσιον, ἑκατὸν δεδωκὼς μάστιγας καὶ ὅλον αὐτοῦ τὸ σῶμα ὕφαιμον καὶ πληγῶν πλῆρες ἐργασάμενος. εἶτα πάλιν μέτεισι πρὸς τὸν αὐτοῦ μαθητὴν καὶ καταναγκάζει τῶν τε ἱερῶν εἰκόνων καὶ τοῦ διδασκάλου γενέσθαι ἔξαρνον. ὡς δ' εὕρισκε τοῦτον μᾶλλον στερρότερον καὶ ὅλον ἀνένδοτον, ἱμᾶσι πλεκτοῖς χεῖρας καὶ πόδας αὐτοῦ καταξάνας καὶ δευτέραις πληγαῖς τραυματίσας εἴασε κεῖσθαι γυμνὸν ἐπὶ τὸ αἴθριον καὶ τῷ κρυμῷ πήγνυσθαι, τρίτην τότε καὶ εἰκοστὴν τοῦ Φευρουαρίου ἄγοντος.

51. Ἐν ὅσῳ δὲ ταῦτα οἱ ἅγιοι ἐν τοῖς τῆς Ἀνατολῆς ἔπασχον κλίμασι, γυνή τις, ἐν τῇ τῶν Βιθυνῶν τυγχάνουσα καὶ δαιμονίῳ οὖσα πνεύματι κάτοχος, ἤρξατο τηνικαῦτα ὑπὸ τοῦ ἐνοχλοῦντος δαίμονος κινεῖσθαί τε καὶ ἐκβακχεύεσθαι καὶ τάς τε ὄψεις διαστρόφους ποιεῖν col. 2 καὶ εἰς ἐπήκοον πάντων ἄσημά τινα καὶ ἀφροῦ πλήρη ἐξερεύ|γεσθαι ῥήματα, οὑτωσί πως παρακεκομμένως φθεγγομένη· „Ὁ ἐμὸς Λέων

---

5 προσέλεξεν pro προσέταξεν **D** ‖ 9 ἔτεσι **D** ‖ 19 οἰκία **D** ‖ 20 φησι delevi ‖ 26 εὑρίσκει **D**

πάλιν ἀπέστειλε πρὸς τὸν Θεόδωρον μάστιγας καὶ τὰς σάρκας αὐτοῦ κατέξανεν. ἀλλ᾽ ἀπέλθετε, φησί, καὶ φέρετέ μοι ἀπόκρισιν, πλὴν μὴ τῇ κέλλῃ αὐτοῦ πλησιάσητε, ἵνα μὴ κατακαύσῃ ὑμᾶς ὁ φλογόστομος". εἶτα σιωπήσασα, μετὰ δύο ἢ τριῶν ὡρῶν διάστημα ἐβόα πάλιν· „Τί τοῦτο; οὐδὲν γέγονεν ὧν ἐβουλόμεθα; ᾔδειν τοῦτο, ὡς οὐδὲν ὑπὸ τῶν πληγῶν πείσεται, ἔχων τὴν βοηθοῦσαν αὐτῷ παρισταμένην καὶ τοῖς ὤμοις αὐτοῦ ἐγκαθεζομένην [δύναμιν]". καὶ ταῦτα μὲν τὸ ἐνεργούμενον γύναιον, καίτοι πόρρω που ὄν, ἐξέφερέν τε καὶ παρεφθέγγετο, τῆς ἀντικειμένης πάντως δυνάμεως καταργουμένης καὶ τοῦ τῆς πίστεως ὑπερνικῶντος δόγματος διὰ τῆς καρτερᾶς τοῦ ὁσίου ἐνστάσεως, καὶ αὐτὰ τὰ τῆς πονηρίας πνεύματα τὴν ἑαυτῶν ὡμολόγει ἧτταν καὶ τὴν καθαίρεσιν ἐδυσχέραινεν, ὅτι τε καὶ οἱ διώκοντες κατῃσχύνθησαν καὶ οἱ τούτους ὁ||πλίζοντες. f. 220

52. Ἀλλ᾽ ὁ θεῖος πατὴρ ἡμῶν, οὕτω τὰς σάρκας καταξανθεὶς καὶ περιωδυνίαις ἀφορήτοις ἐκ τῶν χαλεπῶν ἐκείνων πληγῶν μετὰ ταῦτα βληθείς, ὡς καί τινα τῶν αὐτοῦ κατασαπῆναι μελῶν, νεκρὸς ὅλος ἔκειτο καὶ ἀκίνητος, μικροῦ καὶ τεθνάναι δοκῶν τοῖς πολλοῖς, μήθ᾽ ὑπνῶσαι δυνάμενος, μήτε τινὸς βρώματος μεταλαβεῖν ἢ πόματος, ἀηδῶς ἔχων πρὸς ἅπαντα. ὅθεν πτισάνης χυλὸν ὁ καλὸς ἐπιτηδεύσας Νικόλαος καὶ τούτῳ τὴν κατεξηραμένην αὐτοῦ γλῶσσαν διαβρέχων, βραχεῖάν τε πόσιν ἐπεμβάλλων τῷ στόματι ἀνέψυχέν τε κατὰ μικρὸν καὶ ἀνεζωπύρει τὸ τούτου νεκρόν. ὡς δὲ κατ᾽ ὀλίγον τὴν ζωτικὴν ἀνελάμβανε δύναμιν, ἐπιτρέπει αὐτῷ τὰς ἀποσαπείσας αὐτοῦ σάρκας λαβόντι σιδήριον ἐκτεμεῖν, εἴ πως κἂν τὸ ὑγιαῖνον εἰς ἕξιν τινὰ ἔλθοι καὶ τῶν λοιπῶν μελῶν συνούλωσιν.

53. Οὕτως τὰς ὅλας τῶν νηστειῶν ἡμέρας διετέλεσεν ὁ καρτερικώτατος, μόλις περὶ τὰς ὑστάτας τῆς Πεντηκοστῆς ῥαΐσας καὶ τῶν πόνων βραχὺ ἀνεθείς. ὃν καὶ περιπαθῶς | ἔτι καὶ ἀλγεινῶς ἔχοντα τὰ παρὰ col. 2 βασιλέως πάλιν κακὰ διεδέχετο· ἧκεν γὰρ ἐκεῖθεν πονηρόν τι καὶ δεινὸν ἀνθρώπιον, δοῦλον ὂν χρημάτων καὶ γαστρός, πολλὰ μὲν τῷ ἁγίῳ ἐπαπειλοῦν, πολλὰ δὲ αὐτῷ καὶ φόβητρα ἐπανατεινόμενον. ὃς πρῶτα μὲν χρυσίνους παρ᾽ αὐτοῦ ἐξήτει λαβεῖν, τοίχους τε ἀνορύττων τῆς φυλακῆς καὶ ὀπὰς πάσας διερευνῶν. ὡς δ᾽ ἐφάνη διὰ κενῆς ἐπιχειρῶν (ποῦ γὰρ ἐκεῖ χρυσίον εὑρήσειν τὸ κάθαρμα ᾤετο;), παραλαβὼν τοὺς

---

7 δύναμιν addidi e vita A (Migne, P. Gr. v. 99, col. 200, cap. XCIV). || 17 τεθνᾶναι **R** || 18 μήτέ τινος **RD** || ibid. μεταλαβεῖν ἢ πόματος in margine manu recentiore compendiose adscripta in **R** || 20 τοῦτο **R**, em. **D** || 30 ὃν **RD** || 32 χρυσίνουσ **R**, χρυσίον **D** || ibid. τὲ **RD** || 33 διακενοῖσ **R**, διακενῆς **D**

*ὁσίους ἅμα τοῖς συνεπομένοις αὐτῷ τοῦ κακοῦ ὑπηρέταις τὴν μέχρι Σμύρνης ὁδὸν βαδίζειν κατήπειγεν, ἐκεῖ ἀπαγαγεῖν αὐτοὺς καὶ περιορίσαι βουλόμενος, καθὰ τούτῳ προστέτακτο. ἀλλ' ὁ θεῖος πατήρ, καίτοι παντελῶς ἐκλείπουσαν ἔχων τὴν δύναμιν, ὅμως τῷ ἐνδυναμοῦντι Χριστῷ θαρρῶν, ἅμα τῷ καλῷ μαθητῇ τοῖς αἱμοβόροις ἐκείνοις παρείπετο, ἀνηλεῶς τούτους ἐλαύνουσι, νυκτὶ δὲ τῷ ξύλῳ τοὺς αὐτῶν πόδας δεσμεύουσι.*

f. 220v 54. *Φθάσαντες οὖν βίᾳ τὸν* || *τόπον τῷ Σμύρνης προέδρῳ παραδίδονται, ἀνδρὶ προστάτῃ τοῦ κακοῦ καὶ τῆς ἀσεβείας ὑφηγητῇ. παρ' οὗ καὶ εἴς τι δωμάτιον ἐχυρὸν καθειρχθέντες καὶ πολλὰ δεινὰ παθόντες ἔμενον τῷ ἐν οὐρανοῖς δεσπότῃ ἐνατενίζοντες καὶ τούτῳ εὐχαριστοῦντες ἐν ἅπασι. μικρὸν τὸ ἐν μέσῳ, καὶ ὁ προλεχθεὶς Μαρτινάκιος παρὰ τοῦ τυράννου ἀπέσταλτο· ὃς καὶ τοῖς τῶν ἁγίων διψῶν αἵμασιν αἰκίζει καὶ αὖθις τὸν ὅσιον τῶν προτέρων μαστίγων σφοδρότερον καὶ πληγὰς αὐτῷ καθ' ὅλου τοῦ σώματος ἐπιτίθησι. μετ' εὐχαριστίας οὖν καὶ ταύτην ὑπομείνας τὴν βάσανον ὁ πολύαθλος τὰ τοῦ ἀποστόλου ἑαυτῷ ἐπῇδεν, ὅτι εἰ συμπάσχομεν καὶ συνδοξασθῶμεν καὶ ὅτι ὑπομονῆς χρείαν ἔχομεν, ἣν μὴ ἀποβαλώμεθα διὰ τὴν ἐν ἐπαγγελίαις ἡμῖν ἀποκειμένην μακαριότητα.*

55. *Τότε τοίνυν ὁ τῶν αὐτόθι στρατηγῶν, Βάρδας τούτῳ ὄνομα,* col. 2 *νόσῳ βαρείᾳ ληφθεὶς* | *καὶ ὅλον τὸ σῶμα λωβωθεὶς κλινήρης ἐν τῇ τῆς Σμύρνης ἔκειτο ἐπισκοπῇ, ὅσον οὔπω τὴν ψυχὴν μέλλων ἀφήσειν. εἷς δέ τις τῶν ὑπ' αὐτῷ τεταγμένων, Διογένης καλούμενος, ἀνὴρ θεοσεβὴς καὶ τὴν πίστιν ὀρθόδοξος, ὑπομιμνήσκει αὐτὸν περὶ τοῦ ὁσίου Θεοδώρου καὶ τῆς ἐνούσης αὐτῷ παρὰ τοῦ πνεύματος χάριτος καὶ ὅτι δέον, φησίν, ἀφικέσθαι πρὸς τοῦτον ἐξ ἀποστολῆς αὐτοῦ καὶ παρακαλέσαι ὑπὲρ αὐτοῦ πρεσβεύσασθαι. καὶ ὃς θᾶττον κατένευεν· εὐπειθὲς γὰρ ἅπαν τὸ πιεζόμενον. ὅστις καὶ παραγενόμενος καὶ τὸν ὅσιον ἀπὸ τῆς ἐν τῇ φυλακῇ κατιδὼν ὀπῆς, νόσον τε τοῦ κάμνοντος αὐτῷ γνωρίσας καὶ ἱκετεῦσαι ὑπὲρ αὐτοῦ παρακαλέσας, τέως μὲν ὁ μέγας δοῦναι αὐτῷ τὴν θεραπείαν ἀναβάλλεται, καίπερ παρὰ Θεοῦ ἔχων τὸ ταῦτα δύνασθαι, ἐκεῖνα δὲ τούτῳ δηλοῖ, ἃ καὶ μᾶλλον εἰς συναίσθησιν αὐτὸν ἀγαγεῖν τῶν οἰκείων σφαλμάτων ἔμελλεν. „Ὅρα“ φησί, „τί ἀπολογήσει* f. 221 *ἐν ἡμέρᾳ ἐξό*||*δου σου, ὅτι τὸ τέλος τοῦ βίου ἐφέστηκε, καὶ οὐδεὶς ὁ βοηθήσων ἢ ἐξαιρησόμενος. ἐννόησον οὖν, ὅσα ἐν τῷ καιρῷ τῆς δυνα-*

---

3 *προσετέτακτο* **D** || 15 *καθόλου* **RD** || 21 *λωβοθεὶς* **RD** || 26 *δέον φησιν* **RD** || 28 *πιστόμενον* pro *πιεζόμενον* **D**

17 *τὰ τοῦ ἀποστόλου*: cf. Rom. VIII, 17 || ibid. *ὑπομονῆς—ἔχομεν*: cf. Hebr. X, 35.

στείας σου πέπραχας εἰς τοὺς ὁμολογητὰς τοῦ Χριστοῦ καὶ μάλιστα εἰς τὴν ὑπ' ἐμὲ τοῦ Στουδίου μονήν. σὺ γὰρ εἶ ὁ πρὸς τοῖς ἄλλοις καὶ τὸν ἀοίδιμον ἀνελὼν Θαδδαῖον, πληγαῖς ἀνηκέστοις καταξάνας. ἀλλ' ἐκεῖνος μέν, καλῷ μαρτυρίῳ τὴν ψυχὴν τῷ κυρίῳ παραδούς, νῦν ἐν οὐρανοῖς τοῖς ἀπ' αἰῶνος ἁγίοις ἐντρυφᾷ καὶ συνήδεται· σοὶ δὲ καὶ ἐνταῦθα μὲν πικρὰ τὰ τῆς ζωῆς καὶ ἐπώδυνα, καὶ ἐν τῷ μέλλοντι δὲ ἀθάνατα μένει βασανιστήρια καὶ πῦρ μὴ σβεννύμενον."

56. Ταῦτα παρὰ τοῦ ἀποσταλέντος ὁ δυστυχὴς Βάρδας διενωτισθεὶς καὶ φόβῳ πολλῷ τὴν καρδίαν σεισθείς, ὅλος τε ὑπότρομος καὶ περιαλγὴς γεγονὼς πέμπει πάλιν καὶ λιπαρεῖ τὸν ἅγιον συγχωρῆσαι αὐτῷ ἐφ' οἷς πέπραχεν, εὐχαῖς τε αὐτοῦ τῆς ἀρρωστίας ἀπαλλάξαι καὶ κινδύνου τοῦ| ἐπηρτημένου λυτρώσασθαι, ὑποσχόμενος ζῆσαι τοῦ λοιποῦ κατὰ τὰς **col. 2** αὐτοῦ ἐντολάς. ὁ δὲ πραότατος ἡμῶν πατήρ, ἔλεον τοῦ ἀρρωστοῦντος λαβὼν καὶ λόγοις τοῖς τούτου ἐπικαμφθείς, τῆς τε νόσου θᾶττον ἀπαλλάττει καὶ τὴν ὑγείαν χαρίζεται. οὐ γὰρ ἀνῆκε δι' ὅλης νυκτὸς δάκρυσι τὸν Θεὸν ἱκετεύων, ἕως οὗ τὸν κείμενον τῆς κλίνης ἀνέστησε καὶ ὑγιῆ ὅλον ἀποκατέστησε, πέμψας αὐτῷ καὶ τὴν εἰκόνα τῆς Θεομήτορος προσκυνῆσαι καὶ περιπτύξασθαι, ἐπικαλέσασθαί τε καὶ τὰς τοῦ ὁσιομάρτυρος Θαδδαίου πρεσβείας εἰς συγχώρησιν ὧν δέδρακεν. καὶ ἔμεινεν ἂν ὁ ἰαθεὶς καθαρᾶς τοῦ λοιποῦ εὐρωστίας ἀπολαύων, εἰ μὴ τῷ παρὰ τοῦ ἀπατεῶνος ἐπισκόπου σταλέντι ἐλαίῳ ἐπέχρισεν ἑαυτὸν εὐλογίας δῆθεν χάριν καὶ ἀναρρώσεως κρείττονος. ὅπερ μαθὼν ὁ θεῖος πατὴρ τήν τε ὑποστροφὴν τῆς ἀρρωστίας αὐτῷ προηγόρευσε καὶ τὸν αὐτίκα ἑψόμενον θάνατον. ὃ δὴ καὶ γέγονε, καὶ τὴν ψυχὴν μετ' || ὀλίγον ἀθλίως **f. 221v** ἀπέρρηξεν· οὐ γὰρ ἀζήμιον χρῆμα τὸ κολλᾶσθαι τοῖς πονηροῖς. καὶ αὐτῷ μὲν τὸ τέλος τοιοῦτον.

57. Ὁ δὲ μέγας τοῦ Χριστοῦ ὁμολογητὴς ἐφ' ὅλοις εἴκοσι μησὶ τῇ τῆς Σμύρνης κατείχετο φρουρᾷ, πειρασμοῖς ἀνηκέστοις προσπαλαίων καὶ θλίψεσιν, ἃ καὶ χαίρων ὑπέμενε διὰ τὴν μέλλουσαν εὔκλειαν. οὐ μόνον δὲ ἐκεῖνος, ἀλλὰ καὶ οἱ τούτου μαθηταὶ ἀσκήσει καὶ ὁμολογίᾳ τηνικαῦτα διέλαμπον, πᾶσιν ὄντες θαυμαστοὶ καὶ ἐπέραστοι. εἶχε γὰρ πρὸς τῷ καλῷ Νικολάῳ τόν τε ἀοίδιμον ἐκεῖνον Ναυκράτιον καὶ Δωρόθεον τὸν ἰσάγγελον, Βησσαρίωνά τε καὶ Ἰάκωβον, Δομετιανὸν καὶ Τιθόην καὶ Τιμόθεον τὸν ἀσκητικώτατον σὺν τῷ θαυμαστῷ Εὐθυμίῳ καὶ λοιποῖς, ὧν ἁπάντων καὶ ἡ πολιτεία ἐπίσημος καὶ ἡ ἐν τοῖς δεινοῖς

14 ἀπαλάττει **RD** || 16 οὗ (pro οὐ) **R,** οὐ **D** || 20 ἀπολαβὼν **D** || 25 καλλᾶσθαι **D** || 30 οἱ om. **D** || 33 εἰσάγγελον **R**, em. **D**; βισσαρίωνα τὲ **RD**

*καρτερία ἐξαίσιος, τὸ διὰ Χριστὸν πάσχειν τοῦ μετ' ἄλλων τρυφᾶν κρινάντων αἱρετώτερον.*

58. *Ἀμέλει ὁ ζηλωτὴς Θεὸς ὁ τοὺς ὑπεναντίους ἐξαίρων, ἥ φησιν* col. 2 *ὁ προφήτης, ἐμνήσθη τοῦ στεναγμοῦ τῶν | ἁγίων αὐτοῦ καὶ τὸν ἀποστάτην καὶ ἀλαζόνα τύραννον οὐκέτι ἐπὶ πλέον κατακαυχᾶσθαι τῶν αὐτοῦ δούλων εἴασεν, οὐδὲ τῶν ἱερῶν κατορχεῖσθαι εἰκόνων καὶ ταῖς ὕβρεσι τῶν τιμίων ἐπισεμνύνεσθαι, ἀλλὰ δίκην ὧν παρηνόμησεν εἰσεπράξατο, ἐν αὐτοῖς οἷς ἐφαύλισε τόποις τὴν ἄχραντον τοῦ δεσπότου εἰκόνα τὴν ἀθλίαν ψυχὴν ἀπορρήξαντα, μαχαίρας ἔργον γενόμενον, καὶ ἀνθ' ὧν αἱμάτων ἀθώων ἐξέχεεν τὸ αὐτοῦ ἀνόσιον ἐχέθη δικαιότατα, ὡς πληρωθῆναι ἐπ' αὐτῷ τὸ τοῦ θείου προφήτου Ἀμώς· „Ἐβουλεύσω αἰσχύνην τῷ οἴκῳ κυρίου, συνεπέρανας λαοὺς πολλούς, καὶ ἐξήμαρτεν ἡ ψυχή σου. διὰ τοῦτο τὴν πλησμονὴν τῆς ἀτιμίας σου δέξῃ, καὶ κυκλώσει σε τὸ ποτήριον τῆς δεξιᾶς κυρίου, καὶ συναχθήσεται ἀτιμία ἐπὶ τὴν δόξαν σου".*

59. *Τοιγαροῦν τοῦ παλαμναίου ἐνδίκως τὸν αἴσχιστον ὑπελθόντος* f. 222 *θάνατον, Μιχαὴλ ὁ τοῦτον ἀναιρήσας λαμβάνει τὴν βασιλείαν || ἑαυτῷ, ὑπάρχων μὲν καὶ οὗτος τῆς ἐναντίας μοίρας καὶ δόξης. χρηστότητος γοῦν καὶ ἐπιεικείας μεταποιούμενος, λύει τοῖς ἤδη τυραννηθεῖσι τὰς συμφοράς, πάντας τοὺς πρὸ τοῦ καθειργμένους ἀφεθῆναι προστάξας καὶ ἀκωλύτως διάγειν ἔνθα βούλοιντο. τότε δὴ μετὰ τῶν λοιπῶν καὶ ὁ θεῖος πατὴρ τῆς ὑπερορίας ἀφίεται, δυοκαίδεκα χρόνους ταύτῃ κατάσχετος γεγονώς. ἐπανήκων δὲ ἐκεῖθεν παρὰ πολλοῖς μὲν καὶ ἄλλοις ἐτιμᾶτο ἐν τῇ ὁδῷ καὶ ἐθεραπεύετο, ἅτε πολλὴν ἀπολάμπων τὴν αἴγλην τῆς χάριτος, οὐχ ἥκιστα δὲ παρὰ τοῖς θεοσεβέσιν ἐκείνοις ἀνδράσι τοῖς οὕτω Ξηρολόφοις καλουμένοις, ἔτι μὴν καὶ τῷ ὁμοροῦντι αὐτοῖς Λέοντι τῷ θαυμαστῷ ὑπάτῳ, τῷ καὶ τὸν μονήρη ἑλομένῳ μετέπειτα βίον. παρὰ τούτων γὰρ καὶ μεγαλοτίμως ὑπεδέχθη, ἐν τοῖς λεγομένοις τοῦ Λάκκου Μιτάτοις τὰς οἰκήσεις ἐχόντων, καὶ πλείστης* col. 2 *ὅσης θεραπείας ἀπήλαυσεν. κἀκεῖθεν τῷ παρακειμένῳ ἐν Πτε|λέαις χωρίῳ προσπελάσας, ἐπιτηδείῳ ὄντι πρὸς πολλῶν ὑποδοχὴν καὶ ἀνάπαυσιν, ἐν αὐτῷ τε ἡμέρας ἱκανὰς διέτριψε καὶ πολλοὺς τῶν μαθητῶν ἐκ τῶν διασπορῶν συνηγάγετο, ὡς καὶ τὸν ἴδιον ἀδελφὸν Ἰωσήφ, τὸν τῆς Θεσσαλονίκης πρόεδρον, ἐκεῖσε ἀφικέσθαι, τῆς ὑπερορίας ἀπολυθέντα, καὶ συνησθῆναι τῷ ἀδελφῷ καὶ πατρὶ καὶ τὴν ἀπ' ἀλλήλων τοῦ μακροῦ χρόνου διάστασιν τῇ πρὸς ἀλλήλους συνάψει παραμυθήσασθαι.*

---

3 *ἀπεναντίους* **D**; *ἥφησιν* **R,** em. **D** || 19 *πάντασ τοῖσ — καθειργμέν(οις)* **R,** *πάντως τοῖς καθειργμένοις* **D** || 28 *πλήστης* **RD** || 34 *ἀπαλλήλων* **R,** em. **D**

4 *προφήτης*: cf. Naum 1, 2 || 11—14 non est Amos locus, sed Habac. 2, 10—16.

60. *Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος καὶ τοῦ καιροῦ τούτου λαβόμενος βούλομαί τινα τῶν τοῦ ἀοιδίμου πατρὸς θαυμάτων διηγήσασθαι, ὡς ἂν πάντες γνοῖεν, εἴπερ εἰσί τινες οἱ ἀγνοοῦντες, ἡλίκην καὶ ὅσην τὴν χάριν τοῦ πνεύματος ἐπεσπάσατο ὁ πολὺς τὰ θεῖα Θεόδωρος. οἶδεν γὰρ ὁ μεγαλόδωρος κύριος δοξάζειν τοὺς αὐτὸν δοξάζοντας καὶ ταῖς ὑπὲρ νοῦν εὐεργεσίαις ἀμείβεσθαι. ὁ γὰρ τηνικαῦτα τὸν ἅγιον ἐκ τῆς ὑπερορίας ἐπανήκοντα ὑποδεξάμενος ὁ δηλωθεὶς Λέων* || *ὁ ὕπατος,* **f. 222v** *ὁ καὶ τὸ σχῆμα ὑπελθὼν τοῦ μοναχοῦ καὶ ὁμωνύμως ἐπικληθεὶς τῷ πατρὶ διὰ τὸν πρὸς αὐτὸν πόθον καὶ ἔρωτα, οὗτος οὐ μόνον ζῶντα ἐτίμα τὸν ὅσιον καὶ πλέον πάντων ἔστεργεν, ἀλλὰ καὶ θανόντος ἀδιαλείπτως τῷ τάφῳ προσήδρευε καὶ ψυχῇ καὶ χείλεσι κατησπάζετο τὸν ποθούμενον. οὗ καὶ κατὰ τὸ σύνηθες ἀφικομένου παρὰ τῇ θήκῃ ποτὲ τοῦ πατρὸς καὶ ταύτην προσπτυξαμένου, ἐπειδή τινες αὐτῷ συμπαρῆσαν καὶ οἷόν τι τοῦ λόγου ἥδυσμα περὶ τῆς μνήμης ἀνεκίνουν τοῦ θεσπεσίου, ὅπως τε ἐβίου καὶ πῶς παρρησίᾳ τὴν πίστιν ἐκήρυξε καὶ οἵους ἀνέτλη πειρασμοὺς ἐν οὕτω ἀσθενεῖ σώματι, αὐτὸς οἱονεί τινι βέλει τὴν καρδίαν τρωθεὶς καὶ ὅλος τῇ τοῦ ὁσίου μνήμῃ διαθερμανθεὶς μετὰ πολλῶν ἄλλων, ὧν περὶ αὐτοῦ διηγεῖτο, καὶ ταῦτα σὺν κατανύξει πολλῇ διηγήσατο.*

61. *„Ἐγὼ" φησὶ „καθ' ὃν καιρὸν τῇ ἐμῇ ἐδεξάμην ἑστίᾳ τὸν μέγαν, κόρην τινὰ τῶν ἐκ γειτόνων, σεμνὴν πάνυ καὶ ὡραίαν, τῷ ἐμῷ υἱῷ προσαγόμενος καὶ τούτῳ συνάψας αὐτήν, μήπω τοῦ θαλάμου* **col. 2** *διαλυθέντος, μηδὲ τῶν γαμηλίων ὕμνων κατασιγασθέντων συνέβη κατά τινα περιπέτειαν λάβρῳ συσχεθῆναι τὴν κόρην πυρετῷ, θάνατον ὅσον οὔπω ἀπειλοῦντι ταύτῃ τὸν οἴκτιστον. σὺν τάχει οὖν ἀποστέλλω πρὸς τὸν ὅσιον (ἐτύγχανε γὰρ ὢν ἐν τῷ χωρίῳ Πτελέας) καὶ καταμηνύω αὐτῷ τὴν ὀξεῖαν ἐπέλευσιν τοῦ δεινοῦ. ὃς καὶ παραυτίκα ἔλαιον εὐλογήσας καὶ τοῦτο ἡμῖν πεπομφώς, ἀλείψαντες χεῖράς τε καὶ πόδας καὶ μέτωπον καὶ λοιπὰ μέρη τῆς κειμένης, ἦν ἰδεῖν εὐθὺς ἅμα τῇ χρίσει τοῦ ἐλαίου ῥᾴω τὴν παῖδα γενέσθαι καὶ τοῦ ὑποσμύχοντος ἐκείνου ἀπαλλαγῆναι πυρετοῦ, ὡς δοξάσαι πάντας ἡμᾶς τὸν διὰ τοῦ ὁσίου αὐτοῦ ταῦτα θαυματουργήσαντα κύριον."*

62. *Ἄλλο παράδοξον ὁ αὐτὸς οὗτος θεοφιλὴς ἀνὴρ ἐπ' αὐτῷ συμβὰν διηγήσατο. „Χρεία μοι" φησί „ποτὲ γέγονεν ἀπελθεῖν μόνῳ ἐν κώμῃ τινὶ ἀπωτάτω τυγχανούσῃ. ἧς καὶ ἐξυποστρέφοντι ἀπαντᾷ μοι*

---

7 *δηλοθεὶσ* **R,** em. **D** || 15 *τὲ* **RD** || 20 *ἐγώ φη(σι) καθὸν* **R**; *Ἐγώ, φη, καθ' ὃν* **D** || 23 *μήδὲ* **RD** || 24 *λαύρῳ* **D** || 25 *συντάχει* **R,** em. **D** || 33 *συμβᾶν* **RD**

f. 223 κατὰ τὸ ἐκεῖσε πλησιάζον ὄρος πάρδαλις, || δεινὸν θηρίον καὶ ἄγριον, ὃ καὶ βλοσυρὸν ἐκ τοῦ σύνεγγυς ἰδόν με, ὁρμῆς εἶχεν ὅσον οὔπω καὶ κατ' ἐμοῦ ἐφάλλεσθαι καὶ θοίνην ἑαυτοῦ ποιῆσαί με. ἐγὼ δὲ τὰς εὐχὰς τοῦ μεγάλου πατρὸς ἐπικαλεσάμενος λέγω θαρραλέᾳ τῇ φωνῇ τῷ θηρίῳ· "Ἄπιθι ἀπ' ἐμοῦ καὶ μὴ τολμήσῃς προσψαῦσαί μου, πρὸς γὰρ τὸν θεράποντα τοῦ Χριστοῦ Θεόδωρον ἄπειμι'. τὸ δὲ θηρίον ὡς μόνον τὴν κλῆσιν τοῦ ὁσίου ἤκουσε, πτῆξαν καὶ κάτω νεῦσαν νῶτά μοι εὐθὺς δίδωσι καὶ παραχωρεῖ τῆς ὁδοῦ, πόρρω γενόμενον καὶ ὑποχωρῆσαν. ηὐχαρίστησα οὖν τῷ σώσαντί με Θεῷ καὶ τοῦ δεινοῦ ἐκείνου ῥυσαμένῳ συναντήματος ἐπικλήσει καὶ βοηθείᾳ τοῦ ἁγίου πατρός."

63. Κώμη τίς ἐστιν Ἀχυραοῦς καλουμένη. ἐν ταύτῃ κατῴκει Λέων ἐκεῖνος ὁ συναφθεὶς γυναικὶ πνεῦμα ἐχούσῃ ἀκάθαρτον. ἣ τοσοῦτον τῇ βίᾳ τοῦ δαίμονος ἐτυραννεῖτο καὶ κατετρύχετο, ὡς καὶ τὰς ἰδίας ἔστιν ὅτε σάρκας ἐσθίειν καὶ μήτ' ἀλγεῖν δοκεῖν, μήτ' αἰσθάνεσθαι. λαβὼν οὖν col. 2 ὁ ἀνὴρ τὴν δαιμονῶσαν συναντᾷ τῷ ἁγίῳ ἐπὶ ὄνου | καθημένῳ καὶ τὴν ἐκεῖσε λεωφόρον βαδίζοντι. ὃν καὶ μετὰ δακρύων ἱκέτευεν ἐλεῆσαι τὴν πάσχουσαν καὶ βοηθῆσαι οὕτω κινδυνευούσῃ πικρῶς. ὁ δὲ μέγας, ἀνατείνας τὸ ὄμμα πρὸς κύριον καὶ εὐξάμενος, εἶτα τὴν χεῖρα τῇ κορυφῇ τῆς ταλαιπώρου ἐκείνης ἐπιθεὶς καὶ τρὶς τῷ σημείῳ σφραγίσας τοῦ σταυροῦ καὶ εὐχὴν τὴν κατὰ πνευμάτων ἀκαθάρτων ἐπειπών, ἅμα τῷ τέλει τῆς εὐχῆς καὶ ὁ πονηρὸς δαίμων ἀπέδρασε, φοβεροῦ κατ' ἐκείνην τὴν ὥραν φανέντος θεάματος. τῇ γὰρ ἐκβολῇ τοῦ ἀκαθάρτου συναπεβλήθησαν καὶ οἱ τῶν χειρῶν καὶ ποδῶν τῆς πασχούσης ὄνυχες καὶ χαμαὶ ἔπεσον, ὡς τοὺς ὁρῶντας ἐκπλαγῆναι καὶ τὸν σημειοφόρον δοξάσαι Θεόδωρον, τοιαύτην παρὰ τοῦ Θεοῦ εἰληφότα τὴν δύναμιν.

64. Καὶ τοῦτο δὲ μετὰ τῶν ἄλλων ἔτι ἐν Πτελέαις διάγων ὁ θεῖος εἰργάσατο πατήρ. Ποταμός τις ἐκείνῳ τῷ τόπῳ παράκειται, Ὀνοπνίκτης παρὰ τῶν ἐπὶ χώρας λεγόμενος, ταύτην, οἶμαι, τὴν προσηγορίαν f. 223v λα||βὼν διὰ τὸ πολλὰ τῶν ἀχθοφόρων βλάπτειν καὶ θανατοῦν. οὗτος πολλάκις οἰδαίνων καὶ ἐξογκούμενος καὶ τὸ πολὺ τοῦ ῥεύματος ἀποβλύζων τὸ ἐν Πτελέαις κατελωβᾶτο χωρίον καὶ τὰ πλησίον πάντα κατέκλυζεν. περὶ τούτου δέησιν πρὸς τὸν ὅσιον οἱ τοῦ τόπου πάντες ἐποιήσαντο. ὃς καὶ μηδὲν μελλήσας καταλαμβάνει περὶ δείλην ὀψίαν τὰς διεξόδους τοῦ ποταμοῦ καὶ τοὺς ἑσπερίους ὕμνους ἐκεῖσε ἀποδοὺς τῷ Θεῷ σταυρὸν ἐκ ξύλων κατασκευασθέντα ἐκείνῳ τῷ τόπῳ πήγνυσιν. ὃν καὶ τὰ ποτάμια ῥεῖθρα θεώμενα ἔκτοτε καὶ μέχρι τοῦ νῦν τῆς πρόσω

7 νῶτα μοι RD || 13 βίᾳ om. D || 33 μελήσας RD || 36 ἐκ τότε D

*φορᾶς εἴργεται, ὅριον καὶ στήλη τοῖς ἀναβρασσομένοις ὕδασιν ὁ παγεὶς τύπος γενόμενος.*

65. *Καὶ ταῦτα μέν, ἃ περὶ τοῦ ἁγίου πατρὸς ὁ θεοφιλὴς ἐκεῖνος Λέων, αὐτὸς ἰδὼν ὀφθαλμοῖς, διηγήσατο καὶ ἡμῖν παρέδωκε τοῖς μετέπειτα. ἐπεὶ δὲ καὶ ἕτερα οὐκ ὀλίγα τοῦ ὁσίου θαύματα, τούτων ὄντα πρεσβύτερα, ὁ πατὴρ ἡμῶν Σωφρόνιος, ὁ τῆς αὐτοῦ ποίμνης προστατεύσας, διηγήσατο, | δεῖν ᾠήθημεν καὶ ταῦτα τοῖς ῥηθεῖσι συνάψαι, ὡς* col. 2 *ἂν ὁ περὶ τούτων μὴ διασπῷτο λόγος, ἀλλὰ καθ' ὁδὸν ἴοιτο. „Ἦν“ φησὶ „τῷ ἁγίῳ σύνηθες, ἐν τῇ τοῦ Στουδίου διάγοντι, συχνότερον ἐν τῷ νοσοκομείῳ ἀνιέναι καὶ τοὺς ἀρρωστοῦντας τῶν ἀδελφῶν ἐπισκέπτεσθαι. ἐν μιᾷ οὖν ἀνελθὼν εὗρεν ἕνα τούτων ἀρρωστίᾳ χρονίᾳ κατεχόμενον καὶ ἀλγηδόσι δριμείαις βαλλόμενον καὶ θανεῖν μᾶλλον ἢ ζῆν ἱμειρόμενον. ὃν καὶ [ὁ] τὴν φροντίδα τοῦ νοσοκομείου ποιῶν ἤρετο, εἰ βούλοιτο ὑπὲρ αὐτοῦ παρακαλέσαι τὸν πατέρα, ὡς ἂν τάχιον τῆς δυστήνου ἀπαλλαγῇ βιοτῆς. καὶ ὃς σὺν ἡδονῇ τὸν λόγον δεξάμενος, ἐν τῷ κατιέναι ἐκεῖθεν τὸν ὅσιον λέγει ὁ νοσοκόμος αὐτῷ τὴν τοῦ ἀρρωστοῦντος παράκλησιν. καὶ τοῦ ὁσίου εἰ ἀληθῶς τοῦτο βούλοιτο πυθομένου, εἶτ' ἐκείνου πάλιν τὸν λόγον ἐπιβεβαιώσαντος, στραφεὶς κατὰ ἀνατολὰς ὁ μακάριος, ὑψοῦ τε τὰς χεῖρας ἐκτείνας καὶ δάκρυα θερμὰ καταχέας προσηύξατο ἐν διανοίᾳ τῷ ζωῆς καὶ θανάτου δεσπόζοντι. καὶ πλη||ρώσας* **f. 224** *τὴν εὐχὴν ἔφη τῷ νοσοκόμῳ· „Ἄπιθι, τέκνον, ἑτοίμασον τὰ πρὸς κηδείαν τοῦ ἀδελφοῦ· κεκοίμηται γὰρ κατὰ τὴν αὐτοῦ αἴτησιν.“ ὃς καὶ ἀπελθὼν εὗρεν αὐτὸν ἤδη ἐκπνεύσαντα καὶ τὴν ψυχὴν τῷ κυρίῳ παραδόντα.“*

66. *Ἄλλο παράδοξον ὁ θεῖος διηγησάμενος Σωφρόνιος ἡμῖν καταλέλοιπεν. „Πορευομένῳ μοι“ φησὶ „κατά τινα χρείαν ἔν τισι τῆς Παφλαγονίας κλίμασιν ἅμα τῷ ἐμῷ καθηγητῇ Νικολάῳ, τῷ καλῷ φοιτητῇ καὶ συνάθλῳ τοῦ μεγάλου πατρός, ἑσπέρας ἤδη καταλαβούσης συνέβη ἡμῖν καταλῦσαι ἐπί τι πεδίον, ἐν ᾧ χόρτου θημωνίαι ἀπέκειντο. ἦν δὲ ἐκεῖ συνελθὼν τηνικαῦτα καὶ στρατὸς ὁπλοφόρος. οἳ καὶ διὰ τὸ τῆς ὥρας ὀψὲ ὅπλα ἀποθέμενοι καὶ πυρὰν ἅψαντες τὰ πρὸς τὸ δεῖπνον ἑαυτοῖς παρεσκεύαζον. τῆς οὖν ἀφθείσης πυρᾶς τοῦ χόρτου οὐκ οἶδ' ὅπως δραξαμένης καὶ οἷ' εὐπρήστου ὕλης λαβομένης τὰ πάντα καταφλεγούσης, κίνησις ἄτακτος καὶ βοὴ παρὰ τοῦ στρατοῦ ἐπεγείρεται, | πάντων φονίῳ* col. 2 *ὄμματι πρὸς ἡμᾶς βλεπόντων καὶ μονονοὺ διαχειρίσασθαι ἐφορμώντων,*

1 *ἔργεται* **D** || 8 *ἦν φη(σι)* **R**; *Ἦν, φη* **D** || 13 *ὁ* inserui || 14 *βούλοι τὸ* **RD** || 15 *ἀπαλλαγῆς* **D** || 19 *τὲ* **RD** || 21 *ἑτοίμασων* **R**, *ἑτοιμάσων* **D** || 29 *καταλύσαι* **RD**; *θημωνίαι*: sic acc. **R** || 33 *οἷ* ex *οἷα* factum in **R**, littera *α* erasa; *οἷα* **D** || 35 *μονονοῦ* **RD**

*ὡς αἰτίους τυχὸν τοῦ καιομένου πυρός, εἰδότας καίπερ μηδέν. δείσαντες οὖν, μή τι δεινὸν καθ' ἡμῶν οὗτοι δράσαιεν, δέησιν πρὸς τὸν ἐν οὐρανοῖς δεσπότην ἐποιησάμεθα, τοιάδε τοῦ πατρὸς Νικολάου ποτνιωμένου καὶ φάσκοντος· „Κύριε, ὁ πᾶσαν τὴν κτίσιν συνέχων τῷ νεύματι, ὁ πάντα ποιῶν καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι, ἐξελοῦ τοῦ ἐπηρτημένου κινδύνου ἡμᾶς πρεσβείαις τοῦ ὁμολογητοῦ σου Θεοδώρου, οὗ τοὺς μεγάλους ἀγῶνας ἀνθ' ἱκετηρίας προβαλλόμεθα καὶ ὃν πιστεύομεν ὀξύτατον εἶναι τοῖς χρήζουσι βοηθόν.“ ἅμα οὖν τῷ πληρῶσαι τὴν εὐχὴν ῥαγδαῖος ὑετὸς ἐπῆλθεν αἰφνίδιον καὶ τήν τε φλόγα τοῦ πυρὸς ἔσβεσε καὶ τοὺς στρατιώτας εἰς θαῦμα μεταβαλεῖν τὴν ἀπειλὴν πεποίηκεν, δόξαν ἐπὶ τῷ γεγονότι ἀναπεμψάντων ἡμῶν τῷ ἐπακούοντι Θεῷ δικαίας αἰτήσεως.“*

f. 224v 67. *Καὶ τοῦτο δὲ γυνή τις* || *τῶν εὐπατριδῶν καὶ κοσμίων τῷ θείῳ Σωφρονίῳ ἀπήγγειλε, μεγάλου ὂν θαύματος καὶ ἀκούσματος· ἣ καὶ διηγεῖτο οὑτωσὶ τὸ πραχθέν. „Ἐμπρησμὸς“ φησὶ „κατὰ τὴν ἐμὴν οἰκίαν, τὴν ἐν τῇ Ῥάβδῳ οὖσαν, ἐγεγόνει ποτέ, καὶ τοῦ πυρὸς ῥοιζηδὸν τὰ πάντα ἐπιβοσκομένου καὶ μάλιστα τῷ ὕλης ἐπιτηδείου καὶ εὐπρήστου περιδράξασθαι (χόρτον γὰρ φορυτὸς ὅτι πλεῖστος ἐν πολλαῖς ταῖς ἐκεῖσε στοαῖς ἐναπέκειτο), ἔμελλον ὅσον οὔπω πᾶσαν τὴν οὖσάν μου ὕπαρξιν παρανάλωμα κατιδεῖν τοῦ πυρός, μήτε ὑδάτων ἐπιρροίας, μήτε ἄλλης τινὸς μηχανῆς τὴν ἐγερθεῖσαν δυναμένων καταστορέσαι φλόγα. ἐν πολλῇ οὖν, φησίν, οὖσα θλίψει καὶ ἀδημονίᾳ, ἔννοιά μέ τις εἰσῄει· τὸ πρὸ μικροῦ σταλέν μοι παρὰ τοῦ μεγάλου πατρὸς ἐπιστόλιον (ἐτύγχανον γὰρ ἔχουσα πρὸς αὐτὸν πολλὴν στοργὴν καὶ διάθεσιν, ὡς καὶ διὰ γραμμάτων αὐτῷ ὁμιλεῖν) λαβεῖν ταῖς χερσὶ καὶ κατὰ μέσου ῥῖψαι τοῦ πυρὸς καὶ τὰς τούτου πρεσβείας ἐπικαλέσασθαι εἰς βοήθειαν. ὃ δὴ καὶ ποιήσασα καὶ ἐν τῇ* | col. 2 *καιομένῃ φλογὶ τὸ τίμιον ἐκεῖνο ῥίψασα ἐπιστόλιον καὶ τὸ „Ἅγιε Θεόδωρε“ κράζουσα, „βοήθησον ἡμῖν κινδυνεύουσιν,“ ἦν ἰδεῖν παραχρῆμα ὥσπερ ἐξ ἐντολῆς τὴν φλόγα λωφήσασαν καὶ τὴν ἀγριαίνουσαν ταύτης δύναμιν σβεσθεῖσάν τε καὶ ἐξατονήσασαν.“ καὶ ταῦτα μέν, ἃ παρὰ τῆς σεμνῆς ἐκείνης γυναικὸς ἐγνωρίσθη ἡμῖν καὶ ταῖς ἁπάντων ἀκοαῖς ἐνηχήθη.*

68. *Ἐπεὶ δὲ πρὸς τοῖς εἰρημένοις καὶ τοῦτο ἡμῖν ἀπὸ τῆς ἐν Σαρδάνῃ νήσου διαπεφοίτηκεν, ἑνὸς τῶν ἐκεῖσε πρός τινα τῶν ἡμετέρων πατέρων ἐξειπόντος τὸ θαῦμα καὶ βεβαιώσαντος, δοτέον καὶ τοῦτο*

7 *ἀνθ' ἱκετηρί(ας)* **R,** *ἀνθικετηρίους* **D** || 10 *μεταβαλλεῖν* **R,** em. **D** || 19 *οὖσαν μου* **RD** || 22 *ἔννοια μέ τις* **RD** || 25 *ῥίψαι* **RD**

τῷ λόγῳ, πολλὴν φέρον ὠφέλειαν τοῖς ἀκούουσιν· ἔχει δὲ τὰ περὶ αὐτοῦ οὕτως, ὡς αὐτὸς ὁ διηγούμενος ἔλεγεν. „Ἐγὼ“ φησὶ „τὰ τοῦ θείου πατρὸς ποιήματα, τὰ τῇ ἁγίᾳ ψαλλόμενα τεσσαρακοστῇ, πίστει καὶ πόθῳ πολλῷ ἔψαλλόν τε καὶ ὡς χάριτος ἄξια ἔκρινα. συνέβη οὖν κατὰ τὰς ἡμέρας τῶν νηστειῶν τινας μοναχοὺς ἐπὶ τῇ ἐμῇ καταλῦσαι ἑστίᾳ, || οἳ (f. 225) ἔλεγον μαθηταὶ Γρηγορίου ἐκείνου εἶναι τοῦ ἐν Συρακούσαις γεγονότος ἀρχιεπισκόπου· οἳ καὶ διεκερτόμουν καὶ ἐχλεύαζον τὰ τοῦ πατρὸς ποιήματα ὡς σόλοικά τινα καὶ συντάξεως ἄμοιρα. ὑφ' ὧν καὶ αὐτὸς παραπεισθεὶς τῷ ἐκείνων ὑπήχθην φρονήματι καὶ ἃ πάλαι ἐπόθουν καὶ ἔστεργον, ἀντ' οὐδενὸς ἡγησάμην καὶ κατεφρόνησα. ὡς οὖν τουτὶ τὸ ἀποτρόπαιον διενοησάμην καὶ πέπραχα, ἐφίσταταί μοι τῇ ἐπιούσῃ νυκτὶ ὁ θεῖος πατήρ, μακρὸς ὢν τὴν ἡλικίαν, τὴν ἕξιν ἰσχνὸς καὶ τὴν ὄψιν ὠχρός, πολιός τε τὴν τρίχα καὶ τὴν κεφαλὴν ὑποφάλακρος· ᾧ καὶ παρείποντο ῥαβδοῦχοί τινες φοβεροὶ τὴν ἰδέαν καὶ κατάπληκτοι· οὓς καὶ τύπτειν με παρακελευσάμενος, ἀφειδῶς τὸν ἄθλιον ᾔκιζον, πολλάς μοι καὶ ἀφορήτους πληγὰς ἐντιθέμενοι. ᾧ καὶ τυπτομένῳ ἐπεβόα μοι ὁ πατήρ· „Ἵνα τί τῶν ἐμῶν ποιημάτων καταπεφρόνηκας, ἄπιστε, μηδὲ τοῦτο συνιδεῖν βουληθείς, | ὅτι οὐκ ἂν αἱ τοῦ Θεοῦ ἐκκλησίαι ταῦτα ἐδέξαντο (col. 2) καὶ ἐτίμησαν, εἰ μὴ ἡ πάντα συνέχουσα πρόνοια διαδοθῆναι πρὸς πάντας εὐδόκησε, τὴν ἐξ αὐτῶν προορωμένη ὠφέλειαν καὶ τὴν τῶν μετὰ πίστεως ψαλλόντων κατάνυξιν.“ εἶτα πάλιν προσέτασσε τοῖς φοβεροῖς ἐκείνοις· „Ἐντολὴν ἔχετε· ἱκανῶς τοῦτον τύψατε, ἵνα μηκέτι ὁμιλίαις βλαβεραῖς παρασύρηται, αἳ φθείρουσιν ἤθη τῶν παραδεχομένων χρηστά.“ μαστιχθεὶς οὖν διαρκῶς καὶ ὅλος κατάστικτος τοῖς μώλωψι γεγονὼς τοῦ ὕπνου ἀνίσταμαι, φόβῳ τε τὴν καρδίαν παλλόμενος καὶ τὸ σῶμα ἔχων πληγῶν καὶ μαστίγων ἀνάπλεων, πᾶσι δεικνύων τὰ τραύματα καὶ τὸ ἐπ' ἐμοὶ γεγονὸς διηγούμενος, ἀπελάσας μεθ' ὕβρεων καὶ ἀπειλῶν τῆς ἐμῆς οἰκίας καὶ τοὺς φθορέας ἐκείνους τοὺς τουτί μοι τὸ κακὸν προξενήσαντας. ἐμοὶ γοῦν καὶ πᾶσι τοῖς ἐμοῖς φίλα εἴη καὶ σωτήρια τοῦ λοιποῦ τὰ τοῦ μεγάλου Θεοδώρου ποιήματα || καὶ ἐξ ἴσου τοῖς ἀποστολικοῖς (f.252v) διατάγμασι τιμητέα μοι τὰ αὐτοῦ πάντα καὶ τῶν ἄλλων προκριτέα, ὡς πολλὴν τὴν χάριν καὶ τὴν ὠφέλειαν ἔχοντα.“

69. Ἔστι καὶ ἄλλα μυρία θαυμαστὰ καὶ παράδοξα περὶ τοῦ ἀοιδίμου πατρὸς διηγήσασθαι, πολλὴν αὐτοῦ τὴν δύναμιν καὶ ζῶντος δεικνύντα καὶ μεταστάντος, οὕτως αὐτὸν τοῦ τῶν ὅλων Θεοῦ μεγαλύναντος

14 *ῥαβδοῦχοι τινὲς* **RD** || 15 *ἤκιζον* **RD** || 17 *μὴδὲ* **RD** || 30 *ἐξίσου* **RD** || 34 *δεικνῦντα* **R,** *δεικνύοντα* **D** || 35 *τούτων* pro *τοῦ τῶν* **D**

*καὶ τοῖς πᾶσι λαμπρὸν ἀποφήναντος. καὶ γὰρ ἄλλος μέν, ἀκαθάρτῳ βληθεὶς πνεύματι, δι᾽ αὐτοῦ εἰλήφει τὴν κάθαρσιν· ἕτερος, τὸν στόμαχον σφοδρῶς ὀδυνώμενος, πρὸς τὴν ἐν τῷ κίονι θείαν αὐτοῦ ἀπιδὼν εἰκόνα καὶ μόνον τὸ ἅγιον αὐτοῦ ἐπικαλεσάμενος ὄνομα τῆς τε ὀδύνης παραυτίκα ἀπήλλακτο καὶ τὴν ῥῶσιν ἐλάμβανεν. ἄλλος πάλιν τὰ ἐντὸς δεινῶς σπαρασσόμενος ἀπό τινος θανατηφόρου βρώματος καὶ μέλλων ὅσον οὔπω τὴν ψυχὴν ἀφήσειν, τοῦ ἁγίου ἐλαίου τῆς αὐτοῦ ἐκπιὼν λάρνακος τόν τε ἰὸν ἐκεῖνον ἀπήμεσε καὶ ἀποβλύσει πικρᾷ τὴν γλυκείαν ζωὴν εὕρετο.*
col. 2 *ἄλλος | νεφρίτην λίθον δεινῶς αὐτὸν κατατρύχοντα τῷ αὐτῷ σωτηρίῳ ἐλαίῳ ἀπέρριψεν. καὶ ἕτερος δὲ τῷ πάθει τῆς δειλίας κατισχημένος καὶ μήτε καθευδῆσαι μόνος τολμῶν, μήτ᾽ ἐν νυκτὶ βαδίσαι που ἢ μικρὸν προιέναι, στῆθος καὶ μέτωπον καὶ λοιπὰ μέρη τοῦ σώματος ἐλαίῳ τοῦ ἁγίου τάφου ἀλειψάμενος τήν τε δειλίαν εὐθὺς ἀπεβάλετο καὶ εὐθαρσὴς ὤφθη ἐν ἅπασι. καὶ ἁπαξαπλῶς ἐπιλείψει με ὁ χρόνος κατὰ μέρος ἕκαστα διηγούμενον, ἐπεὶ μηδὲ οἷόν τε τὸν ἀπὸ μακρᾶς διανοίας ὁρμώμενον λόγον τε πάντα δηλῶσαι καὶ ἐναργῶς παραστήσασθαι. ὅθεν τοῖς εἰδόσι ταῦτα παρείς, ἐπεὶ καὶ πολλοὶ θεαταὶ τούτων καὶ μάρτυρες, ἐπὶ τὰ ἑξῆς βαδιοῦμαι τοῦ λόγου, ἔνθα κατέλιπον ἀναλαβὼν τὴν διήγησιν.*

70. *Διατρίψας τοίνυν ἐν Πτελέαις, ὡς εἴρηται, μετὰ τῶν αὐτοῦ μαθητῶν ὁ ὅσιος, ἀπάρας ἐκεῖθεν τοὺς τῆς Προύσης τόπους κατέλαβεν.*
f. 226 *πάντες οὖν οἱ τὰς τοῦ Ὀλύμπου κατοικοῦν||τες κορυφὰς εἰς θέαν τούτων κατῄεσαν, ἐπιποθοῦντες αὐτὸν κατιδεῖν καὶ λόγου ἀπολαῦσαι αὐτοῦ. οὓς καὶ τῆς πολλῆς ἀποδεχόμενος πίστεως καὶ ἐν ἁγίῳ κατασπαζόμενος φιλήματι ἀγαλλιωμένους ἀπέλυεν· αὐτὸς δὲ ἄχρι Χαλκηδόνος ἐλθὼν καὶ Θεόκτιστον ἐκεῖνον τὸν μάγιστρον, τὸν πάλαι παρ᾽ αὐτοῦ ἀποκαρέντα, ἑωρακὼς καὶ αὐτῷ συνησθεὶς διὰ τὸ ὀρθὸν τοῦ τρόπου καὶ τὸ τῆς ἀρετῆς ὑπερφυές, ἀφικνεῖται αὖθις πρὸς τὸν ἀοίδιμον πατριάρχην Νικηφόρον, ἔτι ἐν τῷ ἰδίῳ μοναστηρίῳ διάγοντα. οἳ καὶ ἀλλήλους ἰδόντες καὶ χαρᾶς ἀρρήτου πλησθέντες δόξαν τῷ φιλανθρώπῳ Θεῷ ἀνέπεμψαν ἐπί τε τῇ ἀπαλλαγῇ τῶν δεινῶν καὶ τῇ αὐτῶν περὶ τὴν πίστιν ὑπομονῇ. μεθ᾽ οὗ καὶ ἡμέρας οὐκ ὀλίγας ἀναστραφεὶς τῷ τῆς Νικομηδείας προσπελάζει κόλπῳ, καταλύσας ἐν τῷ λεγομένῳ τὰ Κρισκεντίου τόπῳ, ἔνθα καὶ πολλοὶ τῶν μοναστῶν καὶ μιγάδων*
col. 2 *συνέρρεον, ὀψόμενοί τε τὸν ὅσιον καὶ τῆς παρ᾽ αὐτοῦ | ὠφελείας μεθέξοντες.*

---

3 *ὀδυνόμενος* **RD** || 9 *αὐτ(ὸν)* **R,** *αὐτίκα* **D** || 10 *κατεσχημένος* **D** || 11 *ποῦ* **RD** || 14 *καταμέρος* **RD** || 15 *ἀπομακρᾶσ* **R,** em. **D** || 30 *Θεῷ* om. **D**

71. *Σὺν πᾶσι καὶ Πέτρος ἐκεῖνος ὁ πολὺς ἐν ἀσκήσει, ὁ διὰ τὴν ἄκραν ἀσιτίαν Ἀβούκης ἐπικληθείς, πρὸς τὸν μέγαν ἀφίκετο, ἀναθήσων αὐτῷ περὶ ὧν οἱ τοῦτον ἐνδιαβάλλοντες καὶ ἀπατεῶνα καλοῦντες διὰ τὰ παρ' αὐτοῦ σημεῖα τὴν αὐτοῦ πολιτείαν ἐκάκιζον, δόξαν αὐτῷ πονηρὰν προστριβόμενοι. ὃν ὁ διακριτικώτατος πατήρ, περί τε τοῦ βίου καὶ τῆς ἑαυτοῦ διαγωγῆς ἐρόμενος καὶ ἐν ἑκατέροις εὑρὼν δοκιμώτατον, αὐτῷ μὲν παρηγγύησε μὴ πάντη ἀσιτεῖν, ἀλλὰ καὶ ἄρτῳ καὶ οἴνῳ ἔστιν ὅτε χρῆσθαι καὶ λοιπῶν μεταλαμβάνειν κατὰ βραχὺ ἐδεσμάτων, ὡς ἂν καὶ τὸν τῆς ἀσιτίας τῦφον κολάζοι καὶ τοῖς ζητοῦσιν ἀφορμὴν μὴ εὐκόλως παρέχοι ἀφορμήν, κεχρῆσθαι δὲ καὶ ὑποδήμασιν ἐν ὥρᾳ χειμερίῳ καὶ μὴ γυμνοποδεῖν εἰς οὐδὲν δέον· τοῖς δ' αὖ ἐγκαλοῦσιν αὐτῷ πάλιν ἐπέστελλε μὴ προχείρους εἶναι περὶ τὰς διαβολάς, μηδὲ τῷ ἀναιτίῳ προσάπτειν αἰτίας, ὡς οὐ θεμιτὸν ὂν ἀνδρὶ τοσούτῳ || προσ-* **f. 226v** *κόπτειν καὶ ἑαυτοῖς κρῖμα ἄφυκτον ἐντεῦθεν ἐπισυνάγειν. οὕτως τὰ τῶν ἀμφοτέρων εὖ διαθέμενος τὸ λυσιτελὲς ἀμφοτέροις ἐβράβευσεν.*

72. *Ἐπεὶ δὲ καὶ τοῖς λογάσι τῶν ἐπισκόπων συνεγένετο καὶ τούτοις τὰ δέοντα καθωμίλησε, βουλεύονται ἑκάτεροι προτροπῇ καὶ γνώμῃ τοῦ πατριάρχου πρὸς τὸν τὰ σκῆπτρα παραλαβόντα εἰσελθεῖν καὶ ἀναθέσθαι αὐτῷ τὰ τῆς πίστεως, ὡς ἂν ἐξωσθῶσι μὲν οἱ μεμισημένοι κακόδοξοι, ἀντεισαχθῶσι δὲ οἱ τῆς ὀρθοδοξίας πρόμαχοι, οἳ καὶ ψυχαῖς καὶ σώμασι τοὺς διώκτας κατηγωνίσαντο. οἵ γε καὶ τῶν παραδυναστευόντων ἑνὶ μεσίτῃ καὶ διαλλακτῇ χρησάμενοι εἰσίασιν εἰς τὰ βασίλεια, τήν τε τοῦ κρατοῦντος βοήθειαν ἐξαιτούμενοι καὶ τὴν τῆς ἐκκλησίας ἀποκατάστασιν, ὑπομιμνήσκοντες τοῦτον καὶ τὴν τοῦ τυράννου κατάλυσιν καὶ ὅπως αὐτὸς ἐλέῳ Θεοῦ τῶν αὐτοῦ χειρῶν σέσωστο. ὁ δέ, ἀγροικίας τις ὢν καὶ ὅλος εὐήθης καὶ ἀσύνετος, οὔτε τοὺς τῶν πατέρων λόγους προσήκατο, οὔτ' αὐτῶν | τὴν πρεσβείαν* **col. 2** *ἐτίμησεν, ἀλλὰ πολλὰ τούτων περὶ τῆς ὀρθοδόξου εἰρηκότων πίστεως, τοῦτο μόνον αὐτοῖς τελευταῖον ἀπεκρίνατο, ὅτι „Ἀγαθοὶ μὲν ὑμῶν οἱ λόγοι καὶ καλοί, ἀλλ' ἐπεὶ ἐγὼ οὔπω μέχρι καὶ νῦν εἰκόνα προσεκύνησα, ἐν οἷς εὗρον τὴν ἐκκλησίαν ἀφίημι· ὑμῖν δὲ δίδωμι ἄδειαν ἀκωλύτως τῆς ὑμετέρας ἔχεσθαι πίστεως καὶ τὴν τῶν εἰκόνων τιμᾶν προσκύνησιν, πλὴν μὴ κατὰ τὴν βασιλίδα τοῦτο πράττειν, ἀλλ' ἀπωτάτω ταύτης ἔνθα βούλοισθε". ταῦτα πρὸς τοὺς ἁγίους εἰπόντος τοῦ παράφρονος, ἐξέρχονται τῆς Βύζαντος οἱ μακάριοι, τοῦ θείου πατρὸς εἰς τὰ Κρισκεν-*

8 *καταβραχὺ* **RD** || 9 *τῆς* om. **D**; *κολάζει* **D** || 11 *ἂν* pro *αὖ* **D** || 12 *προχείροισ* **R**, em. **D** || ibid. *μὴδὲ* **RD** || 13 *ὃν* **RD** || 15 *εὐδιαθέμενος* **D** || 26 *Τίσ* **R** || 28 *ἀ|λὰ* **R**

*τίου πάλιν ἀφικομένου κἀκεῖ μετὰ τῶν μαθητῶν τὸ τῆς ἀσκήσεως διανύοντος στάδιον.*

73. *Χρόνος ὀλίγος, καὶ Θωμᾶς ἐκεῖνος ὁ τύραννος ἀποστασίαν κατὰ Ῥωμαίων ὠδίνει, ληίζων τὰ πάντα καὶ κατατρέχων, ὡς ἂν ὑφ' ἑαυτὸν τὴν βασιλείαν ποιήσοιτο. φόβῳ οὖν τοῦ μὴ ἁλῶναί τινας πρὸς* **f. 227** *αὐτοῦ ἢ αὐθαιρέτους αὐτῷ προσδραμεῖν ‖ εἰσελαύνοντας πάντες οἱ πέριξ εἰς τὰ βασίλεια, μετὰ πάντων δὲ καὶ ὁ μέγας Θεόδωρος συνάμα τῶν ἐπισκόπων πολλοῖς τὴν βασιλίδα κατείληφεν. ἀλλὰ τοῦ τυράννου Θωμᾶ τὰς δυνάμεις ἀθρόως περικοπέντος καὶ ἁλωσίμου τῷ βασιλεῖ γενομένου, πάλιν προστάξει τοῦ κρατοῦντος ἐξίασι τῆς Βύζαντος. τότε οὖν ὁ θεῖος πατὴρ τὴν τῷ Ἀκρίτᾳ πλησιάζουσαν καταλαμβάνει χερρόνησον, ἣ τοῦ ἁγίου λέγεται Τρύφωνος. ἀφ' ἧς καὶ τῷ ἀοιδίμῳ πατριάρχῃ συχνὰ παραβάλλων, ἀλλήλοις ὡμίλουν τὰ δέοντα, ἅτερος θατέρου τοῖς λόγοις ἡδόμενος καὶ τὸν πόθον ἀλλήλοις ἐπαύξοντες θερμότερόν τε καὶ βεβαιότερον.*

74. *Ἐν μιᾷ γὰρ τῶν ἐπισήμων τινῶν ἐπισκόπων, οἳ τῶν ἄλλων ἦσαν ἐξέχοντες, ἐκεῖσε ἀφικομένων, καὶ εἰς ἐπήκοον τούτων διεξιόντος τοῦ πατριάρχου τὰ τοῦ θείου πατρὸς ἆθλα καὶ παθήματα, ἐξορίας τε τούτου καὶ μάστιγας καὶ χρονίας ἄλλας κακώσεις, ἃ πάντα γενναίως* **col. 2** *ὑπέμεινεν ὁ ἀήττητος, μηδὲν | καθυφιεὶς τοῦ φρονήματος, ἐπειδὴ καὶ συνεστιαθῆναι ἀμφοτέρους ἐδέησε καὶ τραπέζης κοινωνῆσαι μιᾶς, τοὺς μὲν ἄλλους πάντας ὁ τῆς ὑφεδρίας εἶχε τόπος, μόνον δὲ τὸν ὅσιον σύνεδρον ὁ πατριάρχης ἐλάμβανε καὶ ἐπὶ μιᾶς καθέδρας συνέστιον, „Παραχωρήσατε“ λέγων τοῖς ἐπισκόποις „συνημμένως ἐμοὶ καθεσθῆναι τὸν πάσης τιμῆς ἄξιον, κἂν δυσχερὴς αὐτῷ ἡ προτίμησις διὰ τὸ ἄκρον τῆς ταπεινώσεως“. οὕτω τιμῆς εἶχεν ὁ πατριάρχης καὶ σχέσεως πρὸς τὸν ὅσιον· οὕτω πάντες αὐτῷ παρεχώρουν τῶν πρωτείων διὰ τὸ τῆς ἀρετῆς ὑψηλὸν καὶ ἀπρόσιτον. ἐρρέτω φθόνος ὁ τοῖς καλοῖς ἀεὶ νεμεσῶν καὶ ἐπιμωμούμενος· σιγάτω γλῶσσα φληναφοῦσα τὰ μάταια καὶ ἃ μὴ θέμις ἐκφέρουσα. τίς γὰρ ὁρῶν τῶν θείων τούτων ἀνδρῶν τὸ εὔνουν τε καὶ ὁμόγνωμον καὶ τὸ τῆς στοργῆς οἷον διάπυρον, οὐκ ἂν τῶν φιλαιτίων καταγελάσοιτο, τὴν ἀλήθειαν οὕτως ἐπηρεάζειν θε-* **f. 227v** *λόντων καὶ ‖ τὸ μέγα κρῖμα τοῦ ψεύδους οὐ δεδοικότων; οἳ πάντα παθεῖν ἕλοιντο ἄν, ἢ ἑαυτοὺς ἐπισχεῖν καὶ τοῦ διαβάλλειν ἀφέξεσθαι, ὡς οὐκ ἐξὸν αὐτοῖς ἄλλως εὐδοκίμοις εἶναι παρὰ τοῖς πλείοσιν. ἀλλ'*

---

5 *ἁλῶναι τινὰς* **RD** ‖ 8 *κατήληφεν* **RD** ‖ 14 *καὶ* post *τε* om. **D** ‖ 21 *ἀμφοτέροις* **D** ‖ 25 *ἂν τῷ* pro *αὐτῷ* **D** ‖ 34 *ἑαυτοῦ* **D**

οὗτοι μὲν ἐχέτων ὡς ἔχοιεν· ἡμῖν δὲ ἀλήθεια πανταχοῦ ἡ ἀλήθεια, κἂν εἰ πᾶς διαρραγείη συκοφάντης, μεθ' ἧς ἡμεῖς ταττοίμεθα καὶ ὅσοι τοῖς ἡμετέροις πατράσι συνήδονται, οἷς καὶ ἡ ἐνταῦθα διαγωγὴ θαυμασία καὶ περιπόθητος καὶ ἡ ἐκεῖ λῆξις μακαριστὴ καὶ διάσημος.

75. Ἀλλ' ἡμᾶς γε ὁ καιρὸς ἐπὶ τὸ τέλος τοῦ μακαρίου καλεῖ, ᾧ προσβῆναι μὲν ὁ λόγος ὀκνεῖ, προσβήσεται δ' ὅμως, εἰ καὶ σκυθρωπὸν τὸ διήγημα. ἐπόθει μὲν οὖν ἀεὶ τὴν ἀνάλυσιν ὁ μηδενὶ ἄλλῳ ἢ τῷ Χριστῷ ζήσας καὶ ταῖς ἐκεῖθεν ἐλπίσιν. οὕτω δὲ πόθον ἔχων καὶ ὅλος ὢν τῆς διαζεύξεως, ἐπεὶ καὶ πᾶς ὁ βίος τῷ μακαρίῳ μελέτη θανάτου ἐτύγχανεν, οὐδ' ἐν ταῖς τελευταίαις ἡμέραις τῆς συνήθους διδασκαλίας ἔληγεν, ἀλλὰ καὶ κοινῇ καὶ καθ' ἕνα τοὺς προσιόντας ταῖς τῶν λόγων καθή|δυνε χάρισι, συμβιβάζων καὶ συνενῶν πρὸς τὴν ὀρθοτομίαν τῆς **col. 2** πίστεως· πολλοὺς δὲ καὶ δι' ἐπιστολῶν πρὸς ἑαυτὸν εἷλκε καὶ τούτοις τὸν ὑγιᾶ λόγον ἐκράτυνεν. ἦσαν δὲ οἳ καὶ τῆς βασιλίδος ἐξῄεσαν, ὁμιλῆσαι αὐτῷ ἐφιέμενοι καὶ λόγων αὐτοῦ τῶν ἡδίστων ἐπακροάσασθαι. ἐῶ γὰρ λέγειν ἐπισκόπων συλλόγους καὶ ἱερέων, μοναζόντων τε καὶ μιγάδων, γεγηρακότων καὶ νέων καὶ πάσης ἁπλῶς ἡλικίας. εἰσεφοίτα γὰρ πρὸς τὸν ὅσιον οὐχ ἡ περίχωρος μόνον ἐκείνη, ἀλλὰ καὶ πᾶσα ἡ ὑπερόριος, τῆς φήμης πανταχοῦ διατρεχούσης καὶ ἀπὸ παντὸς γένους συναγειρούσης, ὡς ἂν οἱ μὲν φωνῆς τοῦ μεγάλου ἀκούσωσιν, οἱ δὲ τῆς θέας ἐμφορηθῶσιν, οἱ δὲ λόγου κατηχητικοῦ ἀπολαύσωσιν, οἱ δὲ ἵνα πάντως ῥάους τι γένωνται, ἐπεὶ καὶ τὸ προσεγγίσαι μόνον αὐτῷ πολλῆς ὠφελείας ᾤοντο. ἦν γὰρ ὁ θαυμάσιος ἡδὺς μὲν τὸν λόγον, ἡδίων δὲ τὸν τρόπον, τὴν ἐντυχίαν εὐπρόσιτος, τὸ ἦθος κόσμιος, πρᾶος, ‖ **f. 228** ἀόργητος, συμπαθής, μειλίχιος καὶ εἴ τι ἄλλο τοῖς ἐξαιρέτοις τὸν βίον πρόσεστιν, οὗ καὶ τὰ μικρὰ πολλάκις καὶ πάρεργα πολλοῖς ἔδοξεν αὐτάρκη εἰς εὐδοκίμησιν.

76. Ἑπτὰ τοιγαροῦν ἐπὶ ἑξήκοντα βεβιωκὼς ἐνιαυτοὺς ὁ θεσπέσιος νόσῳ βαρείᾳ περὶ τὰς ἀρχὰς τοῦ Νοεμβρίου περιπίπτει μηνός· ἡ δὲ ἦν ἡ σύντροφος ὀδύνη περὶ τὸν στόμαχον, ἣ σφοδρότερον αὐτῷ προσβαλοῦσα τῇ κλίνῃ ὅλον ἐπέδησε καὶ ἴσα νεκρῷ διατέθεικεν. καὶ ὢ τῆς μεγαλοψυχίας τοῦ τρισμάκαρος· ἐκλελοιπὼς γὰρ ὢν ἤδη καὶ ἄπνους σχεδόν, οὐδ' οὕτως ἑαυτὸν εἴα τοῖς μαθηταῖς ἀνομίλητον, ἀλλ' ἐπεὶ μικρὸν εἰς ἑαυτὸν ἐπανῆκεν, βραχύ τι ῥαΐσας καὶ τῶν πόνων ἀνεθείς, κλέπτει πρὸς διδασκαλίαν τὸν καιρόν. ὅς γε καὶ μὴ οἷός τε ὢν γλώσσῃ εὐσήμῳ φθέγγεσθαι καὶ τρανῇ, ἑνὶ τῶν ταχυγράφων ὑπαγορεύει καὶ δι'

2 μεθῆσ **R** || 16 τὲ **RD** || 22 τῷ **RD**

*αὐτοῦ τοῖς πᾶσιν ἃ ἐβούλετο προσφωνεῖ. ἔχει δὲ τὰ τῆς ὁμιλίας ἐκείνης* col. 2 *οὑτωσὶ κατ' ἀρχὰς ἐπὶ λέξεως· „Ἀδελφοὶ καὶ πατέρες, ἠσθένησα | καὶ πάλιν εὐχαῖς ὑμῶν ἀνακέκλημαι· ἀλλ' ἕως πότε μέλλομεν ἐπὶ τὸ πάλιν ἔρχεσθαι; ἐλεύσεται γὰρ πάντως ἡ ἐπιθανάτιος, χωρίζουσά με ἀφ' ὑμῶν καὶ ἐκ τῶν ἐνθένδε παραπέμπουσα." τὰ δέ γε λοιπὰ τῆς κατηχήσεως ἐν ταῖς κατὰ μέρος ὁμιλίαις τοῦ πατρὸς εἴσεται ὁ βουλόμενος, τρὶς τῆς ἑβδομάδος ἀναγινωσκομέναις, ὡς ἤδη προλέλεκται. τοίνυν μετὰ [τὸ] τὴν παροῦσαν ὁμιληθῆναι κατήχησιν ἦν ἰδεῖν παραχρῆμα (τῆς πολλῆς σου περὶ τὸν Θεόδωρον, Χριστέ, χάριτος) ῥάω γεγενημένον τὸν ὅσιον, τοῖς τε ἀδελφοῖς προσλαλοῦντα φωνῇ τρανοτέρᾳ καὶ καθαρᾷ καὶ τοῖς ποσὶ βαδίζοντα ὑγιῶς, τήν τε θείαν ἐπιτελοῦντα μυσταγωγίαν ἐν τῷ κυριακῷ καὶ ἄρτου συγκοινωνοῦντα καὶ ἁλῶν τοῖς παρατυχοῦσι τηνικαῦτα πατράσι καὶ λοιποῖς ἄλλοις. ὄντως πόνος ὑγείαν, ὥς φησιν ὁ λόγος, χαρίζεται καὶ ῥώννυσι προθυμία καὶ δύναμιν ἀσθενεῖς περιζώννυνται.*

77. *Τούτων οὖν γεγονότων καὶ τοὺς συνόντας ἅπαντας ἠπίως ‖* f. 228v *ἅμα καὶ φιλοφρόνως δεξιωσαμένου καὶ τὰ ἐξιτήρια προσφθεγξαμένου, ἀναπίπτει πάλιν εἰς τὸ κλινίδιον καὶ τὸν οἰκονόμον προσκαλεσάμενος (Ναυκράτιος δ' ἦν οὗτος, ὁ καὶ μετ' αὐτὸν προστατεύσας τῆς ἀδελφότητος) φησὶ πρὸς αὐτόν· „Μή τι τῶν ὀφειλόντων παρεῖται ἡμῖν; μή τι τῶν δεόντων παρημέληται ἢ ἄλλως παρῶπται διά τινα ὀλιγωρίαν ἢ χαύνωσιν"; οὕτως ἦν ἐμμέριμνος ὅλος καὶ ἔμφροντις κἂν ταῖς ἐσχάταις ἀναπνοαῖς ὁ μακαριώτατος. εἶτα μετὰ τὴν ἑξῆς, ἣ δὲ ἦν ἡ ἕκτη τοῦ Νοεμβρίου, καθ' ἣν τὴν τοῦ ὁμολογητοῦ Παύλου μνήμην ἑορτάζομεν, ἀνίσταται τῆς κλίνης, ὥσπερ ἐξ ἐντολῆς φυγαδευομένου τοῦ πάθους, καὶ τὴν ἱερὰν αὖθις μυσταγωγίαν τελεῖ, τὰ εἰκότα τῷ ὁμολογητῇ ἀφοσιούμενος. τῆς δὲ ἑσπέρας καταλαβούσης καὶ τοὺς συνήθεις ὕμνους ἀποδοὺς τῷ κυρίῳ εἴσεισι μόνος ἐν τῷ κελλίῳ. καὶ περί που* col. 2 *βαθεῖαν νύκτα ἐπισκήπτει αὐτῷ τὰ τῆς νόσου βαρύτερον, | τὸ τοῦ στομάχου πάθος νεανικώτερα κατεπανιστάμενον, ἀλγηδόσι οὔτι μετρίαις δριμύσσον τὰ ἔνδοθεν. καὶ δὴ φωνήσας τὸν πρὸ τῆς κέλλης καθεύδοντα ἀπαγγέλλει τὰ τῆς ὀδύνης αὐτῷ. οὗ καὶ τῇ ἀκοῇ συγχυθέντος καὶ μέγα τι ἄφνω βοήσαντος καὶ διωλύγιον, συντρέχει τὸ πλῆθος τῶν ἀδελφῶν, τὴν τοῦ πατρὸς ἀποδυρόμενον στέρησιν καὶ τὴν μέλλουσαν αὐτοῖς οἰκτρὰν ὀρφανίαν ἔσεσθαι. ἐπὶ δυσὶ γοῦν ἡμέραις τὸ χαλεπὸν τουτὶ πάθος ἐπικρατῆσαν, τῆς ἑξῆς καλεῖ πάντας τοὺς μαθητὰς καὶ τὰ ἐξόδια τούτοις προσφωνεῖ, τοιάδε πρὸς αὐτοὺς λέγων σὺν δάκρυσι·*

---

2 *καταρχὰς* **RD** ‖ 6 *καταμέρος* **RD** ‖ 7 *τὸ* inserui ‖ 27 *περίπου* **R** ‖ 32 *νοήσαντος* pro *βοήσαντος* **D** ‖ 34 *γ' οὖν* **RD** ‖ 36 *συνδάκρυσι* **R**, em. **D**

78. „Πατέρες ἐμοὶ καὶ ἀδελφοί, τὸ ποτήριον, ὃ μέλλω πίνειν, κοινὸν ἁπάντων ἐστίν· οὐδεὶς γάρ ἐστιν, ὃς ζήσεται καὶ οὐκ ἴδῃ τὸν θάνατον. ἐλεύσομαι οὖν κἀγὼ πρὸς τοὺς πατέρας μου, τῆς γῆς ἀφιστάμενος καὶ πρὸς ὃν ἐπόθησεν ἡ ψυχή μου κύριόν μου καὶ Θεὸν ἐνδημῶν. ὑμεῖς δὲ βλέπετε τὴν παρακαταθήκην, ἣν παρεθέμην ‖ ὑμῖν· **f. 229** τὴν πίστιν βεβαίαν φυλάξατε, τὸν βίον ἄπτωτοι μείνατε, τὰ ἐντεταλμένα πάντα γνησίως τηρήσατε. ὑμεῖς οἴδατε, ὅτι οὐχ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν τὴν ἀλήθειαν, ἀλλὰ καὶ κοινῇ καὶ καθ' ἕνα τοῖς πᾶσιν εἰσηγησάμην τὰ δέοντα, μηδὲν τῶν ὀφειλομένων κατά γε τὴν ἐμὴν ἐλλελοιπὼς δύναμιν. εἰ δὲ καὶ τῇ σαρκὶ ἀφ' ὑμῶν ἐν τῷ παρόντι διίσταμαι, ἀλλά γε τῷ πνεύματι ἀεὶ σὺν ἡμῖν ἔσομαι, ἐγγυώμενος ὑμῖν, ὡς εἴπερ τινὰ παρρησίαν ἐν τῇ τοῦ κυρίου ἡμέρᾳ ὁ ἀνάξιος εὕροιμι, οὐ διαλείψομαι αἰτούμενος καὶ δυσωπῶν τὸν οἰκτίρμονα, ὡς ἂν καὶ ὑμεῖς ἐπὶ τὸ βέλτιον ἄγοισθε καὶ κοινόβιον δὲ τὸ ὑμέτερον μείζω λαμβάνοι τὴν σύστασιν, ἕνα καθ' ἕνα προσλαμβάνον καὶ προσάγον Θεῷ τῷ σῴζοντι." ταῦτα τοῖς μαθηταῖς εἰπὼν καὶ ἐπευξάμενος, τελευταῖον καὶ τοῦτο φησί· „Τὸν δεσπότην μου τὸν πατριάρχην προσείπατε παρ' ἐμοῦ καὶ κα|τασπάσασθε· **col. 2** τοὺς ἀρχιερεῖς καὶ ἱερεῖς, οἳ τὴν ὁμολογίαν ἀνόθευτον διεφύλαξαν, τοὺς λοιποὺς πατέρας καὶ ἀδελφοὺς καὶ πάντας ἁπλῶς τοὺς κεκοπιακότας διὰ κύριον τὰ εἰκότα προσφθέγξασθε". ἐρωτηθεὶς δὲ παρὰ τοῦ θείου Ναυκρατίου περὶ τῶν ἐν ἐπιτιμίοις μοναχῶν καὶ λαϊκῶν ἀπεκρίνατο ὁ συμπαθέστατος· „Ὁ κύριος συγχωρήσοι πᾶσι καὶ μηδενὶ λογισθείη τὰ παραπτώματα."

79. Οὕτως οὖν ἔχων δύο ἄλλας ἡμέρας διέμεινε, τῷ σημείῳ τοῦ σταυροῦ κατασφραγίζων τοὺς προσιόντας καὶ ἐπευλογῶν ἕκαστον. συνέρρεον γὰρ πλήθη ἀριθμοῦ κρείττονα, ἄλλων ἀλλαχόθεν ὡρμημένων καὶ τῆς τοῦ πατρὸς εὐχῆς τυχεῖν ἐξαιτουμένων. τῆς δὲ κυριακῆς καταλαβούσης, ἑνδεκάτην τοῦ Νοεμβρίου ἄγοντος, ἐν ᾗ καὶ ἡ τοῦ μεγαλομάρτυρος Μηνᾶ τελεῖται μνήμη, τὴν συνήθη δοξολογίαν ποιήσας καὶ εὐχὰς τὰς τελευταίας τῷ κυρίῳ ἀποδοὺς τῶν τε θείων μεταλαμβάνει μυστηρίων ‖ **f. 229v** καὶ ὅλον αὐτὸν πρὸς τὴν ἀποδημίαν συντείνει· ᾔσθητο γὰρ ἑαυτοῦ μικρὸν ὅσον ἐκλείψειν μέλλοντος. ὃς δὴ καὶ προστάσσει, ἡμέρας ὂν τὸ μεσαίτατον, φῶτα λαβεῖν τοὺς ἀδελφοὺς καὶ ὕμνων τῶν ἐξοδίων ἀπάρξασθαι. οἳ καὶ κύκλῳ περιστάντες καὶ τὸ „Μακάριοι οἱ ἄμωμοι" ὑποψάλλοντες, ἅμα τῷ καταλαβεῖν ἐκεῖνον τὸν στίχον, ὅς φησιν „εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς

1 *πιεῖν* **D** ‖ 7 *μὴ* om. **D** ‖ 8 *καθένα* **RD** ‖ 12 *εἴπέρ τινα* **RD** ‖ 15 *καθένα προσλαμβάνων καὶ προσάγων* **RD** ‖ 34 sqq. Psalm. 118, 1 et 93.

ἔζησάς με“, ἅμα καὶ αὐτὸς τοῖς ἀπάγουσιν αὐτὸν ἀγγέλοις τὴν ψυχὴν παραδίδωσι, διαβὰς πρὸς τὴν ἐκεῖθεν μακαριότητα, καὶ προστίθεται τοῖς ὁσίοις ὁ ὅσιος, ὁ μάρτυς τοῖς μάρτυσι, τοῖς ἀθληταῖς ὁ πολύαθλος, τοῖς κήρυξιν ἡ μεγάλη φωνὴ καὶ πᾶσαν τὴν οἰκουμένην περιηχήσασα, τοῖς ὁμολογηταῖς ὁ πάντα τῇ ὁμολογίᾳ ὑπερβαλὼν καὶ ταύτην ἐξόχως τὴν κλῆσιν παρὰ πάντων λαβών. οὗ καὶ τὸ πανίερον σῶμα τῇ νήσῳ **col. 2** κομισθὲν τῆς Πριγκήπου κἀκεῖσε αὖθις ὕμνων τῶν προ|σηκόντων μεταλαχὸν οὕτω τῷ τάφῳ δίδοται, πολλῶν ὡς εἰκὸς δακρύων χεθέντων καὶ τὸ κατασκῆψαν κοινὸν πάθος πάντων ὀδυρομένων.

80. Ἀλλὰ σὺ μέν, ὦ τίμιε πάτερ, οὕτω καὶ ζήσας καὶ μεταστάς, νῦν ἐν οὐρανοῖς τὰς τῶν πόνων κομίζῃ ἀμοιβάς, φωτὶ τῷ μεγάλῳ παριστάμενος καὶ ταῖς αὐγαῖς τῆς μακαρίας καὶ ἀρχικῆς τριάδος ἐλλαμπόμενος τρανότερόν τε καὶ καθαρώτερον, ὅλην ὅλῳ νοῒ τὴν αἴγλην δεχόμενος τῆς θεότητος καὶ τῇ ἑνώσει ταύτης θεούμενος. μέμνησο δὲ λοιπὸν καὶ τῆς ποίμνης σου, ἣν λίαν ἠγάπησας, ὑπὲρ ἧς τὴν ψυχὴν ἔθηκας, ᾗ καὶ ἐπηγγείλω ἐπαμύνειν ἀεὶ καὶ ἀντιλαμβάνεσθαι, ὡς ἂν ἔχοιμέν σε πρέσβυν δυνατὸν καὶ θερμότατον, ὅσοι τῇ ἱερᾷ σου μονῇ προσεδρεύομεν, καὶ διὰ σοῦ πρὸς τὰ κρείττονα ὁδηγοίμεθα, τοῖς ἀστάτοις τουτοισὶ καὶ ῥέουσι τὰ ἑστῶτα καὶ μόνιμα κατακτώμενοι καὶ ζωῆς τῆς ἀγήρω καταξιούμενοι.

**f. 230** 81. Ἐπεὶ δέ σου καὶ αὐτὸ τὸ ἱερὸν σῶμα καὶ πάναγνον || ἔδει τιμῆς κατευμοιρῆσαι βελτίονος, ἐτῶν διαγεγονότων δέκα καὶ ὀκτώ, παυσαμένου ἤδη καὶ τοῦ κατὰ τῶν ἐκκλησιῶν πολέμου, ὃν τελευταῖος ὁ στυγητὸς Θεόφιλος ἀνερρίπισε, λαμπρῶς τῇ βασιλίδι ἀνακομίζεται, Μεθοδίου τοῦ ἀοιδίμου καὶ τῆς εὐσεβοῦς Θεοδώρας τοῦτο ἀπὸ τῆς νήσου εἰσαγαγόντων καὶ τῇ τοῦ Στουδίου μονῇ καταθεμένων, ἔνθα ἡ πολύπλουτος σορὸς Πλάτωνος τοῦ μεγάλου καὶ Ἰωσὴφ τοῦ παμμάκαρος. οὗ καὶ τῇ εἰσόδῳ αὐτός τε ὁ θειότατος πατριάρχης καὶ κλῆρος ἅπας καὶ μοναστῶν πλήθη καὶ μιγάδων μετὰ λαμπάδων καὶ θυμιαμάτων προχυθέντες τῆς πόλεως καὶ τοῦτο χερσὶν ὑπτίαις δεξάμενοι καὶ ὅλον σῶον εὑρόντες καὶ ἄρτιον, ἀρρήτου τινὸς εὐωδίας πληρούμενον, τῇ θήκῃ τῶν πατέρων ἀπέθεντο, δόξαν τῷ παμβασιλεῖ Θεῷ ἀναπέμποντες· ᾧ πρέπει τιμὴ καὶ προσκύνησις σὺν τῷ μονογενεῖ αὐτοῦ Λόγῳ καὶ τῷ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

8 ὡσεικόσ **R** || 17 πρέσβὶν **R** || 18 πατρὸς pro πρὸς **D** || 28 αὐτὸς τὲ **RD** || 34 τοὺσ|ῶνασ **R**, em. **D**